Riley H.M.A., A comparative study of the interpretation of the baptismal liturgy in the mystagogical writings of Gyril of Jerusalem, John Chrysostom, Theodore of Mopsuestia and Ambrose of Milan, Stud. in Christ. Ant. XVII, Washington, The Cathol-Univ. of America Pr. 1974.

Rompay, L. van, Eznik de kolb et Théodore de Mopsueste. A propos d' une hypothèse de Louis Mariès. OLP XV 1984, 159-175.

Τοῦ αὐτοῦ, Quelques remarques sur la tradition syriaque de l' œuvre exégetique de Théodore de Mopsueste. IV Symposium Syriacum 1984, Orientalia Christiana Analecta No 229, Roma 1987, 33-43.

Sanna. I., Il Commento alla Lettera ai Romani de Teodoreto e sua

dipondenza da Thodor di Mopsuestia. Literanum XLVII 1982, 238-260.

Sartore, Domenico, *Il sangue di Cristo nelle Omelie catechetiche di Theodoro di Mopsuestia. Sangue e antropologia V. Riti e culto, a cura di* Vattioni Francesco. *Roma Ed. Pia Unione Preziosissimo Sangue 1987.*

Schaeublin, Chr. *Untersuchungen zu Methode und Herkunft der Antiochenischen Exegese, Theophaneia XXIII Köln, Vanstein 1974.*

Τοῦ αὐτοῦ, *Kenntnis des artikellosen Prädikatsnomen in der Antike WJA NF IV 1978, 69-74.*

Schäferdiek, K.,*Das Johannesverständnis des Theodor von Mopsuestia Diss. Bonn 1958.*

Schiopu I.A., *Rinduiala si explicarea slujbei botezului si a mirungerii le sf. Ambrozie si la Teodor de Mopsuestia. Studii teol. (Bucuresti Inst. Bibl. XX, 7-8, 1968, 543-557.*

Simonetti M., *Note sull' esegesi veterotestamentaria di Teodoro di Mopsuestia: Vet. Chr. XIV 1977, 69-102.*

Τοῦ αὐτοῦ, *La tecnica esegetica di Teodooreto nel Commento ai Salmi. Vet Chr. XXIII 1986, 81-116.*

Starowieyski, Mark, *Il libro dell Ecclesiaste nell' antichità cristiana. Vox P 19, 1990, 761-769.*

Strothmann, Werner, *Der Kohelet - Kommentar des Theodor von Mopsuestia: Festschr. A. Böhling hrsg. von G. Manfred: Ägypten & Altes Testanent XIV. Wiesbaden Harrassowitz 1988.*

Sullivan Fr. A., *Some reactions to Devreesse's new study of Theodore of Mopsuestia ThS XX 1951 179-207.*

Τοῦ αὐτοῦ, *The christology of Theodore of Mopsuestia Anal. Gregor. LXXXII Roma, Univ. Gregor. 1956.*

Τοῦ αὐτοῦ, *Further notes on Theodore of Mopsuestia ThS XX 1959, 264-279.*

Swete H. B. *Theodore of Mopsuestia, DCB 4, 1887, 934-948.*

Touton, G. *La méthode catéchétique de saint Gyrille de Jérusalem comparée à celles de saint Augustin et de Théodore de Mopsueste. Proche Orient Chrétienne 1, 1951, 265-285.*

Tying, D. *Theodor of Mopsuestia as an Interpreter of the Old Testament, JBL, 50, 1931, 298-303.*

Unnik, W.C.van., *Een verloren dogmatisch geschrift van Theodorus van Mopsuestia teruggevonden: NThS XVI 1933, 152-161.*

Τοῦ αὐτοῦ, Παρρησία in the Catechetical homilies of Theodore of Mopsuestia. Mélanges offerts à Chr. Mohrmann, Utrecht Spectrum Ed. 1963, 12-22.

Vaccari, A., Il testo dei Salmi nel commento di Teodoro Mopsuesteno. Biblica 23 (1942) σ. 1-17.

Τοῦ αὐτοῦ, In margine al commento di Teodoro Mopsuesteno ai Salmi: Miscellanea G. Mercati I, Studi e Testi CXXI Città del Vaticano. 1946, 175-198.

Vaggione R.P., Some neglected fragments of Theodorus of Mopsuestia's Contra Eunomiun JThS XXXI 1980, 403-470.

Vööbus A., Theodore of Mopsuestia, CH 1964, 115-24.

Vosté, J.M., La chronologie de l' activité littéraire de Théodore de Mopsueste RBi 1925, 54-81.

Τοῦ αὐτοῦ, Le commentaire de Théodore de Mopsueste sur saint Jean d' après la version syriaque RBibl. 32, 1923, 522-551.

Τοῦ αὐτοῦ, Le Gannat Bussâmê. RBibl. 37, 1928, 396-399.

Τοῦ αὐτοῦ, L' oeuvre exégetique de Théodore de Mopsueste au deuxième concile de Constantinople RBibl. 38, 1929, 382-395. 542-554.

Τοῦ αὐτοῦ, Théodore de Mopsueste sur les psaumes, Angelicum 19, 1942, 179-198.

Τοῦ αὐτοῦ, Theodori Mopsuesteni Liber ad baptisandos OCP 1943, 211-228.

Τοῦ αὐτοῦ, Maroutha de Maïpherqat et le Liber ad baptisandos de Théodore de Mopsueste OCP 1946, 201-205.

Τοῦ αὐτοῦ, De versione syriaca operum Theodori Mopsuesteni, Roma, Ang. 1942, 179-198 OCP 8 1942, 477-481.

Τοῦ αὐτοῦ, Sur les titres des psaumes dans la Pesitta, Bi 1944, 25 210-235.

" Mar iso dad de Merw (Vers 856) sur le titres des Psaumes Bi 25, 1944. 261-296.

Vries, Wilhelm de, Das eschatologische Heil bei Theodor von Mopsuestia, OCP 24, 1958, 309-338.

Τοῦ αὐτοῦ, Der «Nestorianismus» Theodors von Mopsuestia in seiner Sakramentenlehre: OCP VII, 1-2, 1941, 91-148.

Westermann, Claus, Probleme alttestamentlicher Hermeneutik. Aufsätze zum Verstehen des Alten Testaments, hrsg. von Claus Westermann, Theologische Bücherei Band 11, München 1963.

Wichelhaus, Johannes, De Novi Testamenti versione syriaca antiqua quam Peschitho vocant, Halle 1850.

Wickert U., Studien zu den Pauluskommentaren Theodors von Mopsuestia als Beitrag zu seiner Theologie. Diss. Tubingen 1957.

Τοῦ αὐτοῦ, Studiem zu den Pauluskommentaren Theodors von Mopsuestia, als Beitrag zum Verständnis der antiochenischen Theologie: ZNTW Beih. XXVII Berlin, Töpelmann 1962.

Τοῦ αὐτοῦ, Die Persönlichkeit des Paulus in der Pauluskommentaren Theodors von Mopsuestia, ZNTW LIII 1962, 51-66.

Wiles M.F., The Spiritual Gospel. The Interpretation of the Fourth Gospel in the Early Church. Cambridge 1960.

Winkler G., Die spätere Überarbeitung der armenischen Quellen zu den Ereignissen der Jahre vor bis nach dem Ephesinum OC LXX 1986, 143-180.

Woollcombe, K. J., Le sens de «type» ches les Pères, Vie Spirituelle 5, 1951 Supplément.

Zaharopoulos, D. Theodore of Mopsuestia' s Critical Methods, in OT Study, Dissertation. Boston University 1965.

Τοῦ αὐτοῦ, Theodor of Mopsuestia on the Bible, A study of his Old Testament exegesis. New York Paulist 1989.

Ζαχαροπούλου, Δημ., Θεόδωρος ὁ Μοψουεστίας, ὡς Ἑρμηνευτής τῶν Γραφῶν. Ἐπιμέλεια: Καθηγ. Σ. Ἀγουρίδης, Ἐκδ. «Ἄρτος Ζωῆς», Ἀθήνα 1999.

Zahn, Th. Das Neue Testament Theodors von Mopsuestia und der ursprüngliche kanon der Syrer. NKZ 1900. 788-806.

Ziegenans A., Das Menschenbild des Theodor von Mopsuestia: Diss. München 1963.

Zincone S. Studi sulla visione dell' uomo in ambito antiocheno (Diodoro, Crisostomo, Teodoro, Teodoreto): L' Aquila - Roma Japadre 1988.

Τοῦ αὐτοῦ, Il tema dell' uomo/donna immagine di Dio nei commenti paolini e a Gn di area antiochena (Diodoro, Crisostomo, Teodoro, Teodoreto): Ann SE 2, 1985, 103-113.

Ζήση, Θεοδ., Ἡ περί τῆς ἀρχεγόνου καταστάσεως τοῦ ἀνθρώπου διδασκαλία τοῦ Θεοδώρου Μοψουεστίας. Κληρονομία 3, 1971, 250-258.

Ἠλίας Δ. Μουτσούλας
Ὁμότιμος Καθηγητής τοῦ Πανεπιστημίου Ἀθηνῶν

ΒΡΑΧΥΓΡΑΦΙΑΙ

AC: Antike und Christentum. Ed. F.I Dölger, Münster L. W.
ACO: Acta Conciliorum Œcumenicorum, Berlin.
Ang.: Angelicum, Rome.
Aug.: Augustinian Studies Stud: Villanova (Pa).
BLE: Bulletin de Littérature Ecclésiastique. Toulouse.
BZ: Byzantinische Zeitschrift, München.
CH: Church History, Chicago.
CSCO: Corpus Scriptorum Christianorum orientalium, Louvain.
CSEL: Corpus Scriptorum Ecclesiasticorum Latinorum, Vienne.
DB: Dictionnaire de la Bible, ed. F. Vigourorou, Paris.
DCB: Dictionary of Christian Biograghy, London.
DOP: Dumbarton Oaks Papers, Washington.
DTC: Dictionnaire de Théologie Catholique. Ed. A. Vacant, E. Mangenot. et E. Amann, Paris.
EO: Echos d' Orient, Paris.
ET: Expository Times, Edinburgh.
HI: The Hibbert Journal. Londres, 1902.
HThR: Harvard theological review. Cambridge.
ITQ: The Irish Theological Quarterly, Dubblin.
JbAC: Jahrbuch für Antike und Christentum, Münster, Aschendorf.
JBL: Journal of Biblical Literature. New Hawen et Boston.
JL: Jahrbuch für Liturgie Wissenschaft, Münster.
JThS: Journal of Theological Studies. Oxford: Clarendon Pr.
LThPh: Laval Theologique et Philosophique, Quebec.
MSR: Mélanges de Science Religieuse, Lille.
Museon: Le Muséon. Revue d' études orientales, Louvain.
NKZ: Neue Kirchliche Zeitschrift, Leipzig.
NT: Novum Testamentum: an international quarterly for New Testament and related studies, Leiden.
NThS: Nieuwe Theologische Studien, Ter Neuzen.
NTT: Nieuw Theologisch Tijdschrift, Haarlem.
OC: Oriens Christianus: Hefte für die Kunde des christlichen Orients. Wiesbaden: Harrassowitz.

OCP: Orientalia Christiana Periodica, Roma.
OLP: Orientalia Lovaniensia periodica. Leuven: Katholieke Universiteit Leuven, Departement Oosterse Studies Leuven
Or Syr: L' Orient Syrien, Paris.
PO: Patrologia Orientalis, Paris.
PWK: Pauly - Wissowa - Kroll, Realencyclopädie der klassischen Altertumswissenschaft, Stuttgart.
RAC: Rivista di archeologia cristiana. Città del Vaticano Pontificio instituto di archeologia cristiana.
RE: Realencyclopädie für protestantische Theologie und Kirche, Leipzig.
RE Aug: Revue des études augustiniennes. Paris.
RecSR: Recherches de science religieuse, Paris.
REJ: Revue des Etudes juives, Louvain.
RIL: Rendiconti dell R. Instituto Lombardo. Accademia di Scienze e Lettere, Classe di Lettere, Milano.
ROC: Revue de l' Orient Chrétien, Paris.
RSLR: Rivista di storia e litteratura religiosa. Firenze: Olschki.
RSR: Revue des sciences religieuses. Strasbourg.
SAB: Sitzungsberichte der Preussischen Akademie der Wissenschaften - Phil-hist. Klasse. Berlin.
SEJG: Sacris Erudiri, Jaarboek voor Godsdienstwetenschappen, Steenbrugge, Uitg van de Sint-Pietersabdij. Brepols: Turnhout.
ST: Studi e Testi, Publicationi della Bibliotheca Vaticana, Roma.
ThS: Theological Studies, Woodstock.
TU: Texte und Untersuchungen, Leipzig, Berlin.
VChr: Vigiliae Christianae a review of early Christian life and languages. Brill, Leiden.
Vox P. Vox Patrum. Autyk chrzescijnski, Lublin, Redacheja Wydew. Katolickiego Universytetu Lubelskiego.
WJA, Würzburger Jahrbücher fur die Altertumswissenschaft, Neue Folge. Würzburg Paderborn: Schöningh.
WS: Wiener Studien: Zeitschrift für Klassische Philologie, Patristik und lateinischen Tradition, Wien.
ZKG: Zeitschrift für Kirchengeschichte, Stuttgart, Kohlhammer.
ZNTW: Zeitschift für die Neutestamentliche Wissenschaft und die Kunde der älteren Kirche, Berlin: de Cruyter.

ΚΕΙΜΕΝΑ

ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

ΕΙΣ ΤΗΝ ΓΕΝΕΣΙΝ

Α'*

ΤΟΜΟΣ Ι

1
Γεν. 1,17

83 [636] Ὥστε εἶναι, φησίν, αὐτοὺς ἐπὶ τοῦ οὐρανοῦ οὐ πεπηγότας, ἀλλ' ὡς ἐπ' αὐτοῦ τὸν οἰκεῖον ἐξανύοντας δρόμον· ὡς καὶ περὶ τοῦ Ἀδάμ φησιν· «Ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ»[1], οὐχ ὡς πεπηγότα ἐπὶ τῆς γῆς, ἀλλ' ὡς κινούμενον ἐπ' αὐτῆς, οὕτω κἀνταῦθα εἶναι μὲν «ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ»[2] τοὺς φωστῆρας κελεύει, καλῶς δὲ ἐπήγαγεν· «εἰς φαῦσιν ἐπὶ τῆς γῆς»[3], ἵνα εἴπῃ ὅτι τὴν χρείαν παρεχέτωσαν τῇ γῇ· τούτου γὰρ ἕνεκεν ἐπὶ τοῦ οὐρανοῦ τέθεινται.

Προκόπιος: **[89]** Ὅθεν ἡ Γραφή, «Ἔθετο» φησίν, «αὐτὰ ὁ Θεὸς ἐν τῷ στερεώματι», οὐκ ἀντὶ τοῦ "ἔπηξεν", ἀλλ' ὡς τό «Ἔθετο τὸν Ἀδὰμ ὁ Θεὸς ἐν τῷ παραδείσῳ».

2
Γεν. 1,21

92 «Κήτη»[4] γὰρ ἅπαντα τὰ ἐν τοῖς ἐνύδροις ὑπερμεγέθη καλεῖ, κἂν διαφορά τις εἶναι, φαίνηται ἐν αὐτοῖς· ὅθεν προσέθηκε «τὰ μεγάλα».

---

* Κατὰ τὴν ἔκδοσιν F. Petit, La Chaîne sur la Genèse. Édition intégrale, I, Louvain 1991. II, Louvain 1993. III, Louvain 1995. IV, Louvain 1996 (J. - P. Migne, PG 66, 636-645. PG 87, 21-512).

1. Γεν. 2,15. **2.** Γεν. 1,17. **3.** Γεν. 1,14. **4.** Γεν. 1,21.

3
Γεν. 1,21-22

93 Ἐπὶ μὲν τῶν φυτῶν ἀρκεσθεὶς τῷ εἰπεῖν. «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν»[1], καὶ τοῦτο δηλώσας ὅτιπερ αὐτὰ ὥρισε διαμένειν εἰς ἀεί, ἐνταῦθα δὲ προσθεὶς τό «Καὶ εὐλόγησεν αὐτά»[2], μάλιστα μὲν ὡς ἂν καὶ τοῦτο δηλώσειε τὴν πρὸς τὰ φυτά τε καὶ σπέρματα προτίμησιν τῶν ζῴων — εἴ γε ἐκεῖνα τούτων ἕνεκεν γίνεται, οὐ ταῦτα ἐκείνων —· οὐ γὰρ ὑπὲρ τῶν καρπῶν παρῆκται τὰ ζῷα, τῆς ἀπολαύσεως δέ γε καὶ τῆς χρείας ἕνεκεν τῶν ζῴων ἐκεῖνα συνέστη, ὅθεν ἀναγκαίως προστέθειχεν ἐπ' αὐτῶν τὴν εὐλογίαν, ὡς ἄχρις τε ἐκείνων διατείνουσαν, ἃ διὰ τὴν τούτων συνέστη χρείαν, καὶ μὴν καὶ ἑτέρας ἕνεκεν αἰτίας ἣν εἰπεῖν ἀναγκαῖον. Ἐπειδὴ γὰρ τὰ φυτὰ καὶ τὰ σπέρματα τῇ τῶν γεωργούντων συνεργίᾳ κατὰ τὴν ἐναποκειμένην αὐτοῖς δύναμιν παρὰ τοῦ Θεοῦ τὴν ἐπίδοσιν λαμβάνει, ἐπεὶ δέ γε τῶν ζώων ἐκ τῆς οἰκείας ἕκαστον ὁρμῆς πρὸς τὴν μίξιν τοῦ ὁμογενοῦς ὠθούμενον, τοῦ γένους τὴν ἐπίδοσιν ποιεῖται, ἀναγκαίως ἐπὶ τούτων προστέθειχε τό «Καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε»[3], ὡς ἂν φαίνοιντο οὐχ ἑαυτοῖς τὴν ὁρμὴν ταύτην παρασχόμενα, ἀφ' ἧσπερ ἡ τοῦ γένους ἐπίδοσις γίνεται, ἀλλ' ἐκ Θεοῦ τὴν ὄρεξιν λαβόντα, καθ' ἣν ὑπὸ τῶν ἐναποκειμένων τῇ φύσει νόμων ὥσπερ ἐπειγόμενόν τε καὶ ὠθούμενον, ἕκαστον ἐπὶ τὴν μίξιν ἄπεισι τοῦ ὁμογενοῦς.

Προκόπιος: **[104]** Εὐλογοῦνται δὲ οὐ κατὰ τοὺς ἀνθρώπους πνευματικῶς, κατὰ ψιλὴν δὲ γένους διαδοχήν· ὅπερ εἰ καὶ μὴ εἶπεν ἄντικρυς ἐπὶ τῶν φυτῶν, ἀλλ' οὖν ὑπεδήλωσεν εἰπών· «Καὶ εἶπεν ὁ Θεὸς ὅτι καλόν»· «εἰ γὰρ καλόν», καὶ διαμένειν ἠβούλετο. Ἴσως δὲ δηλοῖ καὶ τῶν ζῴων πρὸς τὰ φυτὰ τὴν προτίμησιν· ταῦτα γὰρ ἐκείνων ἕνεκα γέγονεν, ὧν εὐλογουμένων, ἡ εὐλογία καὶ μέχρι τούτων διέρχεται, ἃ διὰ τὴν τῶν ζῴων χρείαν ὑπέστη. Ἄλλως τε, τὰ μὲν φυτὰ **94** καὶ τὰ σπέρματα τῇ τῶν γεωργούντων συνεργίᾳ κατὰ τὴν ἀποκειμένην αὐτοῖς δύναμιν ἐκ Θεοῦ τὴν ἐπίδοσιν λαμβάνει, τὰ δὲ ζῷα, ἐκ τῆς ἰδίας πρὸς τὴν μίξιν ὁρμῆς, ὅθεν τό «Εὐλόγησεν αὐτὰ ὁ Θεός» δείκνυται γὰρ ὡς οὐχ ἑαυτοῖς τὴν ὁρμὴν ταύτην παρέσχετο, ἀφ' ἧς ἡ τοῦ γένους ἐπίδοσις.

---

1. Γεν. 1,4. **2.** Γεν. 1,22. **3.** Ἔνθ' ἄν.

4
Γεν. 1,25

97 Διελὼν μὲν αὐτὰ εἰς «θηρία» καί «κτήνη» καί «ἑρπετά»[1] — εἰκότως ἅτε τῶν μὲν ἑρπόντων, τῶν δὲ πετομένων, ἐν δὲ τοῖς τετράποσι τῶν μὲν θηριωδῶν ὄντων, τῶν δὲ κτηνωδῶν —, ἐφ' ἑκάστου δὲ τό «κατὰ γένος αὐτῶν» προσέθηκεν, δεικνὺς ὅτι διάφορα ἑκάστου πεποίηκε γένη, οἷς ἐπισυνῆψεν· «Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά»[2], ὡς ἂν καὶ τούτοις ἀρεσθέντος τε ὁμοίως τοῦ Θεοῦ καὶ διαμένειν αὐτὰ ταῖς διαδοχαῖς κεκελευκότος ἀεί.

5
Γεν. 1,27

120 Τοῦ Ἀδὰμ τὴν διάπλασιν εἰρηκὼς ὁ Προφήτης ἐπισυνῆψε τά τε τοῦ Παραδείσου καὶ τῆς ἐντολῆς[3], ὡς ἂν δήλου τυγχάνοντος ὅτι κοινὰ μὲν αὐτοῦ τε καὶ τῆς γυναικὸς τὰ εἰρημένα, εἴρηται δὲ ἐπὶ τοῦ προσώπου τέως τοῦ Ἀδάμ, οὗ δὴ τὴν διάπλασιν εἰρήκει· μετὰ γὰρ ταῦτα, κατὰ ἐπανάληψιν προσέθηκε τῆς γυναικὸς τὴν ποίησιν, ἔνθα δὴ καὶ πέρας ἐπιτέθεικε τοῖς περὶ αὐτῆς λόγοις.

6
Γεν. 1, 29-31

126 Ἵνα εἴπῃ· Οὐ μόνον τῶν ζῴων ἀπέφηνα κυρίους, ἀλλὰ γὰρ καὶ τοὺς τῆς γῆς καρποὺς ἅπαντας, εἴτε ἐν σπέρμασιν εἴτε ἐν δένδρεσιν, ὑμῖν προτέθεικα καὶ τοῖς ὑπὸ τὴν ὑμετέραν ἐξουσίαν ταχθεῖσι ζῴοις. Τούτοις προσέθηκεν ὁ Προφήτης· «Καὶ ἐγένετο οὕτως»[4], εἰς δήλωσιν τοῦ, ἅπερ ἀπεφήνατο Θεός, πέρας εἴληφεν. Ἀναγκαίως οὖν καὶ τὴν θείαν ἐπίκρισιν εὐθέως ἐπισυνῆψεν· «Καὶ εἶδεν ὁ Θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν»[5]. Ὃ γὰρ ἐν τοῖς ἄνω κατὰ μέρος πεποίηκεν, τοῦτο ἐνταῦθα μετὰ τὴν τοῦ ἀνθρώπου ποίησιν, κατὰ κοινοῦ θεῖναι καλῶς ἔχειν ἡγήσατο, καὶ

---

1. Γεν. 1,25. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Γεν. 1,27. 2,7. 2,8-17. 2,21-24. **4.** Γεν. 1,30. **5.** Γεν. 1,31.

προσέθηκε καὶ τό «λίαν», ὅπερ ἐν τοῖς προτέροις οὐ τέθεικεν, δεικνὺς ὅτι ὥσπερ τι ἐφ' ἅπασιν ἀναγκαῖον ζῷον πεποιηκὼς τὸν ἄνθρωπον, τὸ τηνικαῦτα μάλιστα καλῶς ἔχειν ἡγήσατο πάντα, ὡς οὐθενὸς αὐτοῖς λείποντος ἔτι τῶν εἰς ἀπαρτισμὸν τέλειον καὶ παντελῆ συντεινόντων διάκοσμον.

Προκόπιος: **127 [137]** [«Ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον»], τουτέστιν· οὐ μόνον τῶν ζῴων ἀπέφηνα κυρίους, ἀλλὰ καὶ πάντων τῶν ἐν φυτοῖς τε καὶ σπέρμασι...

[«Καὶ ἰδοὺ καλὰ λίαν»]· Οὐ πρόσκειται τό «λίαν» ἐν τοῖς κατὰ μέρος ἐπαίνοις ἐφ' ἅπασι γὰρ ἀναγκαῖον ζῷον ποιήσας τὸν ἄνθρωπον, ὡς οὐδενὸς ἔτι λεί**[140]**ποντος, τοῦτό φησι παριστῶν τῆς δημιουργίας τὸ τέλειον.

7
Γεν. 1, 31-2,1

Ἵνα εἴπῃ ὅτι «συνετέλεσε»[1] δὲ τὸν οὐρανὸν καὶ τὴν γῆν μετὰ παντὸς αὐτῶν τοῦ διακόσμου ἐπὶ τῆς ἕκτης ἡμέρας, μηθὲν ἔτι καταλελοιπὼς ὃ προσθεῖναι ὡς λεῖπον ἐχρῆν τῇ κτίσει.

8
Γεν. 2,2

129 [636] Εὔδηλον γὰρ ὡς οὐδὲν οὐκέτι καινὸν μετὰ τὴν ἕκτην ἐγένετο, γινομένων μὲν ἀεὶ καὶ φυτῶν καὶ σπερμάτων καὶ ζῴων, οὐ καινῶν δέ, ἀλλ' οἷάπερ ἦν τὰ πρότερον γεγονότα, κατ' ἐκεῖνον τὸν ὅρον καὶ τὴν ἐπ' αὐτοῖς ἀπόφασίν τε καὶ εὐλογίαν τοῦ Θεοῦ πάντων καθ' ἑκάστην ἐπιδιδόντων ἡμέραν.

9
Γεν. 2,4

132 Ἀνακεφαλαίωσις ταῦτα τῶν προειρημένων, μετὰ πολλῆς εἰρημένη τῆς συντομίας.

---

1. Γεν. 2,2.

10
Γεν. 2,7

139 Τέθεικεν δὲ καὶ τοῦτο οὐχ ἁπλῶς ὁ Προφήτης, ἀλλ' ὥστε δηλῶσαι ὅτι οὐ τὸ κράτιστον μέρος λαβὼν τῆς γῆς, ἐξ ἐκείνου τὸ ἀνθρώπειον διέπλασε σῶμα[1], ἀλλὰ τὸ περιττὸν καὶ ἄχρηστον καὶ κονιορτῷ ἐοικός, ὥστε φαίνεσθαι συγχρήσασθαι μὲν **140** βουληθέντα τῇ γῇ τὸν Θεόν, τὸ δὲ πᾶν ἐκ τῆς οἰκείας προστεθεικότα δυνάμεώς τε καὶ σοφίας.

Προκόπιος: **[152]** Δηλοῖ οὖν ὁ λόγος ὡς οὐ τὸ κράτιστον μέρος λαβὼν τῆς γῆς τὸν ἄνθρωπον ἔπλασεν, ἀλλὰ τὸ περιττόν τε καὶ ἄχρηστον, ὡς φαίνεσθαι τὸν Θεὸν ἐθελήσαντα μὲν συγχρήσασθαι γῇ, τὸ δὲ πᾶν ἐκ τῆς οἰκείας προστεθεικότα δυνάμεως.

11
Γεν. 2,7

Ἵνα εἴπῃ τῆς ψυχῆς ἐγγεγονυίας τῷ σώματι, τὸ σύμπαν εἰς τὸ ζῆν κατέστη **[156]** ὥστε καὶ τὸ σῶμα λοιπὸν τῇ ψυχῇ συμπεπλεγμένον ζωῆς μετέχειν, τῷ πάντῃ εἶναι λοιπὸν ζῶν διὰ τῆς πρὸς τὴν ψυχὴν συμπλοκῆς.

12
Γεν. 2,7

142 Τοῖς μὲν γὰρ ἀλόγοις, ἀπό τῆς εἰσπνοῆς τοῦ κατὰ τὸν ἀέρα πνεύματος ἐψυχῶσθαι ἐδόθη τὸ ζῆν, τῷ δέ, ἐξ αὐτῆς τῆς ἀθανάτου καὶ διαφερούσης οὐσίας· «Ἐνεφύσησε γὰρ ὁ Θεὸς εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν»[2]. Καὶ τοῖς μέν, δουλεύειν καὶ ἄρχεσθαι προσετάγη, τῷ δέ, ἄρχειν καὶ δεσπόζειν[3].

---

1. Γεν. 2,7. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Γεν. 1,26,28.

13
Γεν. 2,7

143 [637] Οὐχ εἶπε δέ, ἐγένετο ἡ σὰρξ εἰς ψυχὴν ζῶσαν, ἀλλ' «Ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν», τῇ τοῦ ἀνθρώπου χρησάμενος ὀνομασίᾳ, ἣ κοινή γέ ἐστι τοῦ συναμφοτέρου. Καὶ ταύτην μὲν εἰρηκώς, δι' ὅλου τὸ συναμφότερον ἐδήλου, τῇ διαιρέσει δὲ τῆς ποιήσεως, διακρίνας τὰς φύσεις, καὶ τῷ μέν «Ἔπλασε χοῦν ἀπὸ τῆς γῆς», τὴν σάρκα δηλώσας, τῷ δέ «Ἐνεφύσησε πνοὴν ζωῆς», τὴν ψυχὴν ἐμφήνας, εἶτα κατὰ κοινοῦ πάλιν ἐπαγαγὼν τό «Καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν».

Προκόπιος: **[157]** Ἄνθρωπος δὲ κυρίως τὸ συναμφότερον· ἀλλ' οὐδέτερον καθαυτὸ τῶν συντιθέντων τὸν ἄνθρωπον.

14
Γεν. 2,8

158 Ἐπιδεικνὺς καὶ τοῦτο τὴν περὶ τὸν ἄνθρωπον γεγονυῖαν σπουδήν, ὅτι μὴ παραπλησίως τοῖς ἄλλοις ζῴοις νέμεσθαι αὐτὸν ἁπλῶς ἐπὶ τῆς γῆς ἀφῆκεν, ἔγκριτον δὲ αὐτῷ χωρίον ἀπένειμε πρὸς κατοίκησιν, ὃ πολλοῖς τε καὶ εὐπρεπέσι· κοσμήσας τοῖς φυτοῖς, Παράδεισόν τε ὠνόμασε διὰ τοῦτο, καὶ οἰκητήριον γεγονότος ἀπέφηνε τοῦ ἀνθρώπου.

Προκόπιος: **159 [157]** ...Θεοῦ τὴν πρὸς ἄνθρωπον ἐνδεικνυμένου σπουδήν, καὶ μὴ τοῖς ἄλλοις ζῴοις ὁμοίως αὐτὸν συγχωρήσαντος νέμεσθαι, ἔκκριτον δὲ χωρίον πρὸς κατοίκησιν ἀπονείμαντος...

15
Γεν. 2,8

Οὕτω τῆς γῆς ἁπάσης ἐκεῖνο προτιμότερον ἔθετο τῆς γῆς τὸ μέρος, ὃ δὴ πρότερον ἀνίσχων ὁ ἥλιος καταλάμπει. Ἐν τούτῳ, φησίν, τῷ χωρίῳ ἐγκρίτῳ παρὰ πᾶσαν ὄντι τὴν γῆν, Παράδεισον ὁ Θεὸς πεποίηκεν, πολλοῖς τε καὶ εὐπρεπέσι φυτοῖς κεκοσμημένον, ἐν ᾧπερ κατῴκισε γεγονότα τὸν ἄνθρωπον.

Προκόπιος: **[157]** ...ὅπερ πρότερον ἀνίσχων ὁ ἥλιος καταλάμπει...

16
Γεν. 2,8

160 **[637]** «Ἐδέμ» δὲ ἔοικεν ὀνομάζειν τὸν τόπον «κατὰ ἀνατολάς»[1] κείμενον, ἐν ᾧπερ ὁ παράδεισος ἦν, οὐ μικρόν τι μέρος τῆς γῆς οὕτω καλῶν· μέγαν μὲν γὰρ δείκνυσι τὸν Παράδεισον, εἴ γε ὁ τοῦτον ἄρδων «ποταμός», μετὰ τὴν ἐκείνου χρείαν ἔξω φερόμενος, «τέσσαρας» οὕτω μεγίστους ἀποτελεῖ ποταμούς[2].

Προκόπιος: **[157]** Οὐ μικρὸν δέ τι τοῦτο μέρος τῆς γῆς, ἀλλὰ τοσοῦτον ὡς τὸν ἐν αὐτῷ κείμενον Παράδεισον, καὶ οἷον μέρος αὐτοῦ, τοσοῦτον εἶναι ὡς τὸν ἄρδοντα «ποταμόν» αὐτόν, μετὰ τὴν ἐκείνου χρείαν ἔξω φερόμενον, «τέσσαρας» μεγίστους ἀποτελεῖν ποταμούς.

17
Γεν. 2,8

[637] Ὡς τῇ τοῦ «Ἐδέμ» προσηγορίᾳ, μὴ τὸν Παράδεισον ὀνομάζεσθαι μόνον, ἀλλὰ καὶ ἔξωθεν οὐ βραχύν τινα τόπον· μέρος μὲν εἶναι νομιζόμενον τοῦ «Ἐδέμ» καλουμένου τόπου, προσεγγίζοντος δὲ ὡς εἰκὸς τῷ Παραδείσῳ. Ὅθεν περὶ τοῦ Κάϊν οὕτω φησίν· «Καὶ ἐξῆλθε Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ κατῴκησεν ἐν γῇ Ναΐδ κατέναντι Ἐδέμ»[3], ὡς ἂν πρότερον μὲν αὐτῶν ἐν «Ἐδέμ» οἰκούντων, ἔνθαπερ αὐτοῖς καὶ ὁ Θεὸς ἐπεφαίνετο, ἐπειδὴ δὲ ἔξω τῶν τόπων ἐγίνετο ἐκείνων, ἀποῤῥιφεὶς τοῦ Θεοῦ διὰ τὴν οἰκείαν κακοπραγίαν, ἐν ἑτέρῳ τόπῳ λοιπὸν οἰκοῦντος **161** ἐπονομαζομένῳ «Ναΐδ», ὃς καταντικρὺ τοῦ «Ἐδέμ» ὑπῆρχε τόπου, ἐν ᾧ δὲ τὸ πρότερον ᾤκουν· οὕτω γὰρ καὶ τὸν Ἀδὰμ ἐκβληθέντα τοῦ Παραδείσου, κατῳκῆσθαι ἔφη «κατέναντι τοῦ παραδείσου»[4]. Λέγει τοίνυν ὅτι ἐξ ἁπάσης τῆς γῆς ὥσπερ τινὰ ἔξοχον τόπον «κατὰ ἀνατολάς» ἐκλεξάμενος, «Ἐδέμ» ὀνομαζόμενον, ἐν αὐτῷ δὴ τὸν Παράδεισον κατεσκεύασεν, ἐν ᾧ δὴ τιμῆσαι βουληθεὶς γεγονότα τὸν ἄνθρωπον, ἔταξεν οἰκεῖν.

---

1. Γεν. 2,8. **2.** Πρβλ. Γεν. 2,10-11. 13-14. **3.** Γεν. 4,16. **4.** Γεν. 3,24.

18
Γεν. 2,9

170 Ἀπὸ τοῦ τὸ γυμνάσιον τῆς ὑπακοῆς καὶ τῆς παρακοῆς[1] ἐπ' αὐτῷ δεδόσθαι, οὕτως ἐκλήθη.

19
Γεν. 2,9

171 [161] Εἶχον μὲν λογισμὸν δεκτικὸν καλοῦ τε καὶ κακοῦ, τὴν δὲ γνῶσιν οὐκ εἶχον. Ὁ δὲ Θεὸς χώραν δοῦναι τῷ αὐτεξουσίῳ βουλόμενος καὶ τῶν ἐναντίων τὴν γνῶσιν, δένδρον ὑποδείξας ἀπαγορεύει τὴν βρῶσιν, ἀπειλήσας θάνατον παραβαίνουσιν, ὡς ἂν εἰδεῖεν τὸ παρακοῦσαι κακὸν καὶ τὸ πειθαρχεῖν ἀγαθόν. Τὸ οὖν δένδρον δι' οὗ τούτων ἑκάτερον ἐγινώσκετο, ἐκ τούτων εἰκότως, ἐκάλεσεν, τουτέστιν ὑπακοῆς τε καὶ παρακοῆς· τοῦτο γὰρ δηλοῖ τό «καλόν τε καὶ πονηρόν», ὡσανεὶ καὶ τόπος ἀπὸ συμβεβηκότος κληθείη. Οἷον «Βουνὸς μάρτυς», σημεῖον τῶν συνθηκῶν ἃς πρὸς Λάβαν Ἰακὼβ ἐποιήσατο[2]· καί «Φρέαρ ὅρκου», οὐ τούτου τὸν ὅρκον **[164]** γεννήσαντος, ἐκ δὲ τοῦ περὶ αὐτὸν γεγονότος ὅρκου, καὶ ἄλλο «Ἐχθρίας» καὶ ἄλλο «Ἀδικίας»[3]· ἑκάτερον γὰρ τούτων τὴν ὕλην ἔσχε περὶ τὰ φρέατα. Πάλιν οἱ ὑπηρέται τοῦ Ἰωὰβ καὶ τοῦ Ἀβεννὴρ περὶ τὴν κρήνην ἀλλήλοις συναντήσαντες ἐπεβούλευσαν, καὶ ὁ τόπος ἐκλήθη «Μερὶς τῶν ἐπιβούλων»[4]. Καὶ ὥσπερ «ὁ νόμος» ὁ δοθεὶς τοῖς Ἰουδαίοις «θάνατος» κέκληται[5], οὐχ ἐν τῇ φύσει τὸν θάνατον ἔχων ἀλλὰ δι' ὧν παρεβαίνετο, ἄρα τὸ ξύλον οὐκ εἶχε τὸν θάνατον, οὐδὲ Θεὸς τοῦτον εἰργάσατο.

20
Γεν. 2,9

174 [165] Ὥσπερ δέ,φασίν, τὸ δένδρον «τοῦ εἰδέναι καλὸν καὶ πονηρόν»[6] οὐκ ἐκ φύσεως, ἐκ δὲ συμβεβη**[168]**κότος ἐλέγετο, οὕτως καὶ τό «τῆς ζωῆς». Ἀνόητον γὰρ ξύλῳ τοιαύτην περιθεῖναι

---

1. Πρβλ. Γεν. 2,9. **2.** Πρβλ. Γεν. 31,47. **3.** Πρβλ. Γεν. 26,33. **4.** Β' Βασ. 2,16. **5.** Πρβλ. Ρωμ. 7, 7-14. 8,2. **6.** Γεν. 2,9.

δύναμιν, φθαρτῷ δηλονότι τυγχάνοντι καὶ τοιοῦτον ἔχοντι τὸν καρπόν.

21
Γεν. 2,8

176 «Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδέμ»[1]. Συντελεῖ πάλιν εἰς τιμὴν τοῦ μέλλοντος οἰκεῖν αὐτόθι. Ὡς γὰρ τό «ἔπλασεν»[2] εἶπεν, δήλου μὲν ὄντος ὅτι πεποίηκεν αὐτὸν ὁ Θεός, τῷ ἰδίῳ δὲ τῆς φωνῆς τὸ τῆς φύσεως ἔγκριτον δεικνύς, οὕτω καὶ τό «ἐφύτευσεν» εἶπεν, δήλου μὲν ὄντος ὅτι βουλῇ καὶ προστάγματι Θεοῦ καὶ οὗτος ὁ τόπος τοῖς φυτοῖς κατεκοσμήθη, ὅλως δὲ τῷ τῆς φωνῆς ἰδιάζοντι τὸ ἐξαίρετον τῆς περὶ τὸν τόπον ἐπιμελείας δεικνύς.

[637] «Ἐδέμ» δὲ ἔοικεν ὀνομάζειν τὸν τόπον «κατὰ ἀνατολάς» κείμενον, ἐν ᾧπερ ὁ παράδεισος ἦν, οὐ μικρόν τι μέρος τῆς γῆς οὕτω καλῶν· μέγαν μὲν γὰρ δείκνυσι τὸν Παράδεισον, εἴ γε ὁ τοῦτον ἄρδων «ποταμός» μετὰ τὴν ἐκείνου χρείαν ἔξω φερόμενος, «τέσσαρας» οὕτω μεγίστους ἀποτελεῖ «ποταμούς»[3].

Προκόπιος: **[157]** «Ἐφύτευσε δέ», φησίν, τὸ ἐξαίρετον τῆς περὶ τὸν τόπον ἐπιμελείας δεικνὺς τοῦ Θεοῦ, ἢ πρὸς τὴν ἀνθρώπου συνετέλει τιμήν· ὥσπερ καὶ τό «ἔπλασεν» **177** εἶπεν,δήλου μὲν ὄντος ὅτι πεποίηκεν αὐτὸν ὁ Θεός, τῷ δὲ τῆς φωνῆς ἰδιώματι τὸ ἔκκριτον ἐπιδεικνὺς τῆς ποιήσεως, ἐπεὶ πρόδηλον ὡς βουλῇ καὶ προστάγματι Θεοῦ τοῖς φυτοῖς ἐκεκόσμητο...

Οὐ μικρὸν δέ τι τοῦτο μέρος τῆς γῆς, ἀλλὰ τοσοῦτον ὡς τὸν ἐν αὐτῷ κείμενον Παράδεισον, καὶ οἷον μέρος αὐτοῦ, τοσοῦτον εἶναι ὡς τὸν ἄρδοντα «ποταμόν» αὐτὸν μετὰ τὴν ἐκείνου χρείαν ἔξω φερόμενον, «τέσσαρας» μεγί**[160]**στους ἀποτελεῖν «ποταμούς».

22
Γεν. 2,15

182 Οὐχ ὡς τοῦ Παραδείσου τούτου δεομένου, ἀλλ᾽ ἵνα ἐκ τῶν τεθέντων αὐτῷ νόμων,τὸν πεποιηκότα γνωρίζῃ.

---

1. Γεν. 2,8. **2.** Γεν. 2,7. **3.** Πρβλ. Γεν. 2,10-13.

23
Γεν. 2,15

«Ἐργάζεσθαι»[1] μὲν οὖν αὐτὸν ἐκέλευσε μόνον τὸν Παράδεισον, ἵνα μάθῃ ὡς ἐκκλίνειν χρὴ τὴν ἀργίαν ἅτε ἐπιβλαβῆ καὶ πολλῶν αἰτίαν τῷ μετιόντι κακῶν, περὶ δὲ τὴν τῶν δεόντων ἠσχολῆσθαι πρᾶξιν.

24
Γεν. 2,18

193 Τότε γάρ «Ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς»[2]· ἀκόλουθον δὲ ἦν εἰπεῖν ὅπως μὲν τὸ ἄῤῥεν «ἐγένετο»[3], ὅπως δὲ τὸ θῆλυ — ἁρμοδίως τῇ τοῦ Ἀδὰμ ποιήσει τήν τε Εὔαν ἐπισυνάπτων — εὑρίσκετο[4]. Ταῦτα μὲν οὖν εἰρήκαμεν ἀναγκαίως, εἰς δήλωσίν τε τῆς τῶν νοημάτων ἀκολουθίας, καὶ εἰς διδασκαλίαν εἴτε καὶ τῶν κατὰ παρένθεσιν κειμένων, εἴτε καὶ τῶν κατὰ ἐπανάληψιν εἰρημένων. Ὀπτέον δὲ ὅτι καὶ ἐν τῇ πλάσει τῆς γυναικός, βουλὴν προτέθεικε καὶ τό «Ποιήσωμεν» ἐφύλαξεν, ὅπως **194** τε καὶ ἐπὶ τῆς γυναικὸς τὴν ὁμοίαν φυλάξῃ τάξιν, ὡς ἂν μὴ δόξειεν ὥς τι περιττὸν ὕστερον ἐπινοεῖσθαι τὸ θῆλυ, τὴν ὁμοίαν ἔθηκε φωνὴν ἐπὶ τοῦ Θεοῦ, ὡς ἂν δείξειεν ὅτι μίαν τινὰ φύσιν τοῦ τε ἄῤῥενος καὶ τοῦ θήλεος ἐπιστάμενος, ἴσην καὶ ἐν τῇ ποιήσει τὴν ἐπιμέλειαν αὐτοῖς ἀπένειμεν δικαίως. Λέγει γάρ· «Καὶ εἶπεν Κύριος ὁ Θεός· Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν»[5]. Βουλὴ γάρ τίς ἐστι κἀνταῦθα τοῦ Θεοῦ, ἐπὶ τῶν ῥημάτων δεικνυμένη τούτων, ὅτι τοῦτο καλόν, τὸ γενέσθαι καί «βοηθὸν αὐτῷ κατ᾽ αὐτόν». Τέθεικε δὲ καὶ τό «Ποιήσωμεν» ὁμοίως κἀνταῦθα, ἐπειδὴ τὰ πρὸς διδασκαλίαν ὁμοίως ἀναγκαῖα ἦν τῷ θήλει, ἅτε καὶ ὀφείλοντι, μηθὲν τοῦ ἄῤῥενος ἐλαττοῦσθαι ἐν τοῖς τῆς εὐσεβείας διδάγμασί τε καὶ λόγοις.Οὕτω καὶ ὁ μακάριος λέγει Παῦλος· «Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρίς ἀνδρὸς ἐν Κυρίῳ»[6]. Εἰ γαρ καὶ ἐν τοῖς σωματικοῖς δευτέρωσίν τινα ἔχει τὸ

---

1. Γεν. 2,15. **2.** Γεν. 1,27. **3.** Γεν. 2,7. **4.** Πρβλ. Γεν. 2,20. **5.** Γεν. 2,18. **6.** Α′ Κορ. 11,11.

θῆλυ, ἀλλὰ κατά γε τὴν ψυχήν, ἀθάνατόν τε οὖσαν καὶ λογικὴν ὁμοίως, οὐθὲν τοῦ ἄῤῥενος διαλλάττει, ἐν ἴσῳ τε ἔχει τῶν τῆς εὐσεβείας ἔργων τὴν ἐπιμέλειαν, καὶ τῶν ἐκ τῆς κατορθώσεως ἄθλων προκειμένην ἔχει τὴν ἀπόλαυσιν ὁμοίως.

Προκόπιος: **[172]** Ὅρα δὲ ὡς κἀν τῇ πλάσει τῆς γυναικὸς βουλὴν ὁμοίως προτέθεικεν, καὶ τό «Ποιήσωμεν»· ὡσαύτως φησίν, ἐπειδὴ τὰ πρὸς διδασκαλίαν ὁμοίως ἦν ἀναγκαῖα τῷ θήλει, μηδὲν ἐλαττουμένῳ τοῦ ἄῤῥενος ἐν τοῖς τῆς εὐσεβείας διδάγμασί τε καὶ λόγοις. Φησὶ γὰρ ὁ μακάριος Παῦλος· «Πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός ἐν Κυρίῳ». Εἰ γὰρ καὶ δευτερεύει τῷ σώματι, ἀλλ' οὖν κατὰ ψυχήν, ἀθάνατόν τε οὖσαν καὶ λογικήν, οὐδὲν τοῦ ἄῤῥενος διενήνοχεν.

25
Γεν. 2,18

195 Ἵνα εἴπῃ· παραπλησίαν καὶ οὐδὲν αὐτοῦ διαλλάτουσαν κατὰ τὴν οὐσίαν. Τὸ δέ «Οὐχ εὑρέθη», οὐχ ὥς τινος ζητήσεως γινομένης περὶ τούτου λέγει, ἀλλ' ἐπειδὴ κατὰ παράθεσιν ἀλόγων, ὡς εἶπον, ἐβουλήθη τῆς τοῦ ἀνθρώπου ποιήσεως τὸ διάφορον ἐπιδεῖξαι, διὰ τοῦτο ἐπήγαγε τό «Τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη ὅμοιος αὐτῷ»[1]· τὸ γάρ «ὅμοιος αὐτῷ» τοῦτο λέγει, ὅπερ ἐκεῖ εἶπε «κατ' αὐτόν», ἵνα τὴν ἰσοτιμίαν δηλώσῃ.

Προκόπιος: **[172]** [...οὐδὲν τοῦ ἄῤῥενος διενήνοχεν] οὐδὲ κατὰ τὸν τῆς οὐσίας λόγον.

26
Γεν. 2,18

196 «Ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν»[2]. Τὸ δέ *«βοηθόν»*, ἵνα εἴπῃ· κοινωνὸν τῶν κατὰ τὸν βίον ἁπάντων· διὸ καλῶς καὶ τό «κατ' αὐτόν», ἵνα εἴπῃ τὴν τῆς φύσεως ὁμοτιμίαν.

Προκόπιος: **[172]** «Βοηθόν» δέ φησιν, κοινωνὸν τῶν κατὰ τὸν βίον ἁπάντων· καὶ τό «κατ' αὐτόν» δέ, τὴν τῆς φύσεως ὁμοτιμίαν παρίστησιν.

---

1. Γεν. 2,20. 2. Γεν. 2,18.

27
Γεν. 2,19

199 **[637]** Οὐχ ὅτι ἄλλα ζῷα μετὰ ταῦτα πεποίηκεν «ἐκ τῆς γῆς», ἀλλὰ περὶ τῶν ἤδη γεγονότων κατὰ ἐπανάληψιν διὰ τὸ προκείμενον λέγων. Τὸ δέ «ἔτι» ἔκ τινος ἰδιώματος τῆς Ἑβραΐδος προστίθησι γλώσσης· οὕτω καὶ τό«Ἐξανέτειλεν ἔτι ὁ Θεὸς ἐκ τῆς γῆς»[1].

Προκόπιος: **[172]** Ἀναγκαίως οὖν ἐπαναλαβὼν τὸν περὶ αὐτῶν λόγον ἤδη πεποιημένων, φησίν, ὡς ποιήσας αὐτά.

28
Γεν. 2,19

Ἀλλὰ τὸ μέν «Ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ»[2] λέγει, ἀντὶ τοῦ προσήγαγεν αὐτὰ τῷ Ἀδάμ. Εἶθ' ὥστε δηλῶσαι ἐπὶ τίνι προσήγαγεν, ἐπήγαγεν «τοῦ ἰδεῖν τί καλέσει αὐτά», ἵνα εἴπῃ· ὥστε ὑπὸ τὴν ἐξουσίαν εἶναι τὴν αὐτοῦ. Ἐξουσίας γὰρ δηλωτικὸν τὸ ὀνόματα τιθέναι, ἐπεὶ πᾶσι τοῖς κτωμένοις ἔθος ὀνομασίᾳ τινὶ τὰ κτήματα καλεῖν τὰ οἰκεῖα. Ὅθεν ἐπήγαγεν «καὶ πᾶν ὃ ἐκάλεσεν αὐτὰ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ»[3], ἵνα εἴπῃ πᾶσι τοῖς ζῴοις αὐτὸς ἔθετο ὀνομασίας, ἅτε ἄρχειν αὐτῶν καταστάς.

29
Γεν. 2,19

200 Ἔδει γὰρ τὸν καταστάντα πάντων τῶν ἐπὶ γῆς βασιλέα εἰδέναι τὰ ὑπ' αὐτόν, καὶ ἐκ τῆς προσηγορίας ἕκαστον γνωρίζειν.

30
Γεν. 2,19

[172] Ὡς ἂν δεσπότῃ προσήγαγεν· δεσπότου γὰρ τὸ τοῖς κτήμασι τιθέναι προσηγορίας.

---

1. Γεν. 2,9. 2. Γεν. 2,19. 3. Ἔνθ' ἀν.

31
Γεν. 2, 21-22

201 Οὐ γάρ τι ἐναντίον λέγει τοῖς ἔμπροσθεν, ἀλλ' ἐπειδὴ εἶπεν· «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς»[1], τὸ μέν, ὅτι γέγονεν ἄνθρωπος «κατ' εἰκόνα ἄρσεν τε καὶ θῆλυ», σαφῶς εἰρηκώς, τὸν τρόπον δὲ οὐ προσθείς, καινόν γε ὄντα παρὰ τὰ λοιπὰ ζῷα, ἀναγκαίως ἐνταῦθα τὸ παραλελειμμένον ἐν ἐκείνοις ἡμᾶς **202** ἐκδιδάσκει, ἐπαναλαβὼν τοῦ ἀθρώπου τὴν ποίησιν, ἐπὶ τῷ τὰ ἐν τοῖς πρόσθεν αὐτῷ παραλειφθέντα νῦν ἡμᾶς ἐκδιδάξαι.

Προκόπιος: **[172]** ...καὶ ἅμα δεικνὺς ὡς οὐ κατὰ τὸν αὐτὸν τρόπον ἐκείνοις τό «ἄρσεν τε καὶ θῆλυ» γεγένηται.

32
Γεν. 2, 21

«Ἔκστασιν ἐπέβαλεν»[2] αὐτῷ, ἵνα μὴ τῆς αὐτοῦ προαιρέσεως τὸ **203** γινόμενον νομισθῇ, τῆς δὲ τοῦ Θεοῦ δυνάμεως· ἄλλως τε καὶ ἐπεὶ μυστήριον ἦν τὸ τελούμενον.

33
Γεν. 2, 21

205 Ἐπειδὴ γὰρ ἤμελλεν αὐτοῦ τὴν πλευρὰν ἀφαιρεῖν, ἵνα ἀπὸ ταύτης ποιήσῃ τὴν γυναῖκα, ἀνάγκη δὲ ἦν ἀνωδύνως ἀφαιρουμένης, φαντασίαν αὐτὸν τὸ πρᾶγμα νομίζειν, ἢ μετ' ὀδύνης λαμβανομένης, ἀπεχθῶς ἔχειν πρὸς τὸ ἐκ τούτου γιγνόμενον, «ἔκστασιν αὐτῷ ἐπέβαλεν», ὥστε ἔξω τῆς συνήθους καταστάσεως γεγονότα, μὴ αἰσθητῶς τὸ γινόμενον ἰδεῖν, ὡς ἐν ὁράματι δὲ **206** ὕπνου τινὸς δι' ἀποκαλύψεως θείας, δέξασθαι τοῦ γινομένου τὴν γνῶσιν.

Προκόπιος: **[173]** Εἴτε γὰρ νήφοντος ἀνεπαισθήτως παρείλετο τὴν πλευράν, τὸ πρᾶγμα φαντασίαν ἐνόμιζεν, εἴτε γέγονεν αἴσθησις, τὴν ὀδύνην

---

1. Γεν. 1,27. **2.** Γεν. 2,21.

οὐκ ἔφερεν· εἰκότως οὖν ἐκστὰς τῆς συνήθους καταστάσεως, δι᾽ ἀποκαλύψεως θείας ὡς δι᾽ ὀνείρου, τοῦ γεγονότος τὴν γνῶσιν ἐδέξατο.

34
Γεν. 2, 22

207 Ὃ καὶ καλῶς εἶπεν «ᾠκοδόμησεν»[1]. Ἐπειδὴ γὰρ ἐκ μικροῦ τὴν ἀρχὴν λαμβάνοντες, ταῖς κατὰ μέρος προσθήκαις τὸ οἰκοδόμημα πρὸς πέρας ἄγειν εἰώθαμεν, οἰκοδομίαν ἐκάλεσεν τὸ ἀπὸ μικροῦ τοῦ ληφθέντος ἀθρόον αὐτὸ πρὸς τελειότητα μεταστῆναι, τῆς τοῦ Θεοῦ βουλῆς βραχεῖ γε ὄντι τῷ ληφθέντι προσθείσης τὸ λεῖπον. Ἐπισημαντέον μέντοι κἀκεῖνο, ὅτι ἐπὶ μὲν τοῦ Ἀδὰμ διῃρημένως εἶπεν τῆς τε σαρκὸς τὴν ποίησιν καὶ τῆς ψυχῆς, ἐπὶ δὲ τῆς γυναικὸς μόνον τὴν λῆψιν εἶπεν τῆς πλευρᾶς καὶ τὴν ἀπὸ τούτου γεγονυῖαν σύστασιν τῆς γυναικός, οὐκέτι τῆς ψυχῆς τὴν ποίησιν προστεθεικώς, ἅπαξ τὴν τῶν ἀνθρώπων οὐσίαν οἵα τίς ἐστιν ἐπὶ τοῦ ἄῤῥενος δηλώσας, δήλου γε ὄντος ὡς οὐχ ἑτέρας οὐσίας ἐνεδέχετο εἶναι τὸ θῆλυ, ἀλλὰ τῆς αὐτῆς ἧσπερ οὖν ἐστι τὸ ἄῤῥεν, ἅτε ἐφ᾽ ἅπαντος ζῴου μιᾶς οὔσης τῆς οὐσίας τοῦ τε θήλεος καὶ τοῦ ἄῤῥενος.

Προκόπιος: **208 [173]** «Ὠικοδόμησε» δέ φησιν, ἐπεὶ καὶ τῆς οἰκοδομίας ὁ νόμος ἀπὸ σμικροῦ τινος ἀρχομένης πρὸς τέλειον πέρας ἐκφέρεσθαι ταῖς κατὰ μέρος προσθήκαις· βραχεῖ γὰρ ὁ Θεὸς τῷ ληφθέντι τὸ λεῖπον αὐτίκα προσέθηκεν. Ἐπὶ μὲν οὖν τοῦ Ἀδάμ, διῃρημένως εἶπε τοῦ σώματος καὶ τῆς ψυχῆς μετὰ τοῦτο τὴν ποίησιν· ἐπὶ δὲ τῆς Εὔας, τοῦ σώματος μόνον εἶπε καθ᾽ ὃ διήλλαττεν, δηλῶν ὡς τῶν ὁμοουσίων ἡ αὐτὴ δημιουργία, ...

35
Γεν. 2,22

Καὶ γὰρ κἀκεῖ τό «ἐνεφύσησεν», εἰς δήλωσιν ἔφη τοῦ οὐκ ἔκ τινος ἀλλ᾽ ἢ ἐκ μόνης τῆς θείας ἐνεργείας τὴν ψυχὴν γεγονέναι, κἀνταῦθα κατὰ τὸ ἀκόλουθον ἐνόμισε δεδηλῶσθαι τὸ γενομένῳ τῷ σώματι εὐθὺς κατὰ θείαν ἐνέργειαν τὴν ψυχὴν ἐνοικισθῆναι,

1. Γεν. 2,22.

ὡς ἂν τὰ ὅμοια καὶ ἐπὶ τῶν ἑξῆς νοοῖμεν ἀνθρώπων, ἐφ' ὧν δήλη τοῦ σώματός ἐστιν ἡ διάπλασις, ὅθεν τε λαμβάνει τὴν ἀρχὴν καὶ ὅπως συνίσταται.

Προκόπιος: **[173]** ...καὶ κατὰ θείαν ἐνέργειαν ἡ ψυχὴ γεγονότι ἐνῳκίσθη τῷ σώματι. ...Καὶ ἐπ' Ἀδὰμ γάρ «ἐνεφύσησεν» εἶπεν, δηλῶν τὴν θείαν ἐνέργειαν.

36
Γεν. 2,22

209 Τοῦτο μὲν οὖν ὅμοιόν ἐστι τοῦ ἐπὶ τῶν ἀλόγων εἰρημένου.

Προκόπιος: **[173]** ...Ὅμοιον δὲ τοῖς ἀλόγοις ζῴοις τό «Καὶ ἤγαγεν αὐτὴν πρὸς Ἀδάμ»[1].

37
Γεν. 2,23

214 Τὸ Ἑβραϊκὸν οὐκ ἔχει «γυνή»[2], ἀλλά 'εισα' δασέως, ὃ σημαίνει "ἀνθρώπου"· καὶ τοῦτο μᾶλλον ἀκόλουθον δοκεῖ εἶναι.

38
Γεν. 2,24

Τὸ μὲν ὄνομα τῆς γυναικὸς τῆς συναφείας ἐστὶ καὶ τῆς γαμικῆς κοινωνίας δηλωτικόν, ἀφ' ἧς ἀλλήλοις τε συμπλεκόμενοι καὶ εἰς ταὐτὸν ἀλλήλοις συνιόντες, «εἰς μίαν» τινὰ καθίστανται «σάρκα». Εἰ δὲ καὶ κοινὸν ὄνομα λοιπὸν πασῶν ἐστιν, οὐ θαυμαστόν· ἅτε γὰρ τῆς τοιαύτης φύσεως εἰς τοῦτο γεγονυίας, εἰκότως κοινὸν ὄνομα τῶν τὴν αὐτὴν φύσιν ἐχουσῶν ἐγένετο.

Προκόπιος: **215** **[176]** ...«Αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη»[3]. Οὐκ ἐπειδὴ ἐλήφθη κέκληται, φασίν] ἀλλ' ἔστι τὸ μέν «γυνή», τῆς γαμικῆς συναφείας σημαντικόν.

---

1. Γεν. 2,22. **2.** Γεν. 2,23. **3.** Γεν. 2,24.

39
Γεν. 2, 23-24

Εὔδηλον γὰρ ὅτι τῆς θείας ἐπιπνοίας ἦν τὸ ἐκ τῆς θέας αὐτῆς ἐπιγνῶναι τὸν Ἀδὰμ ὅτι ἐξ αὐτοῦ γέγονεν ἡ Εὔα, καὶ πόθεν, καὶ ἐπὶ τίσι, καὶ τίνα τάξιν εἰς τὸ ἑξῆς ἕξει πᾶσα γυνὴ πρὸς τὸν οἰκεῖον ἄνδρα· ταῦτα δὲ παρέσχεν αὐτῷ Θεὸς ἐν τῷ τῆς ἐκστάσεως καιρῷ.

Προκόπιος: [176] ...Τὸ δὲ ὅλον τοῦτο κατὰ θείαν εἶπεν ἐπίπνοιαν· οὐ γὰρ ἂν ἐξ ἑαυτοῦ ὅθεν τε καὶ εἰς ὅτι γέγονεν ἔγνω.

40
Γεν. 2,24

216 Πᾶσιν γὰρ ἀνθρώποις, φησίν, τοῖς καθεξῆς τιμιώτερον ἔσται καὶ γονέων γυνή, οἳ τὰ τῶν γεννησαμένων ἐν δευτέρῳ τιθέμενοι, πρὸς ταύτην τε ὁρῶσιν ἔχοντες συναφείας, μεθ' ἧς καὶ οἶκον ἔχειν ἡγοῦνται κοινόν, καὶ ἀποτελεῖν γεννήματα, ἀμφοτέρων τε ὁμοίως ὄντα κοινά, ἅτε καὶ ἐξ ἀμφοτέρων ἐστῶτα καὶ τῆς αὐτῆς μετέχοντα οὐσία, ὡς εἶναι αὐτοῖς τῇ πρὸς ἅπαντα κοινωνίᾳ «μίαν» τινὰ τήν «σάρκα».

Προκόπιος: [177] ...ἀναγκαίως προτιμᾶται γονέων γυνή. «Εἰς σάρκα δὲ μίαν», φησίν, ἅμα μὲν διὰ τὸ κοινὸν τῆς οὐσίας, ἅμα δὲ διὰ τὴν ἐξ ἀμφοῖν εἰς γονὴν τέκνων συντέλειαν.

41
Γεν. 3,1 (2,25)

Οὐ γὰρ εἶχον τὰ πάθη τῆς θνητῆς φύσεως, μήπω θνητοὶ γεγενημένοι· διεκρατοῦντο γὰρ τῇ χάριτι.

42
Γεν. 3,1

220 Ἀναγκαίως τοίνυν καὶ ὁ μακάριος Μωυσῆς, καθ' ἣν ὑπὸ τῆς τοῦ Ἁγίου Πνεύματος χάριτος ἐδέξατο γνῶσιν τὰ γεγονότα ἱστορῶν, παρῆκε μὲν τοῦ διαβόλου τὴν μνήμην, ὡς ἀγνώστου τοῖς ἀπατηθεῖσιν ὄντος, λέγει δὲ τόν «ὄφιν»[1], πρὸς ὃν καὶ οἱ περὶ τὸν

1. Γεν. 3,1.

Ἀδὰμ ἑώρων τότε, οὐκ εἰδότες τὸν ἐν αὐτῷ διαλεγόμενον τέως, ἅτε μηδὲ εἶναί τι ἕτερον ἀόρατον εἰδότες πλὴν τοῦ Θεοῦ.

Προκόπιος: **[184]** Ὅθεν ὁ Μωυσῆς παρῆκε τοῦ διαβόλου τὴν μνήμην, οὗ τὴν γνῶσιν οὐκ εἶχον οἱ τὴν ἀπάτην δεξάμενοι, ὅπερ ἑώρων ὄργανον μόνον εἰπών.

43
Γεν. 3,3

225 **[185]** Ἀλλ' οὐδὲ τό «μὴ ἅψησθε» τοῦ ξύλου φαίνεται λέγων ὁ Θεὸς ἐπὶ τῆς ἐντολῆς. Δῆλον οὖν **[188]** ὡς εἴρηται· οὐ γὰρ ἂν ἀφ' ἑαυτῆς εἶπεν εἰ καὶ ὁ προφήτης παρέδραμεν, οὐδ' ἂν ἐντολὴν λέγουσα θείαν. Τὸ μὲν εἰρημένον, τό «τοῦ καλοῦ καὶ πονηροῦ» παρῆκεν, τὰ δὲ μὴ εἰρημένα προσέθηκεν, τό «ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου», καὶ τό «οὐ μὴ ἅψησθε αὐτοῦ»[1]. Ἀλλ' εἴρηται πάντως τὸ μέν «ἐν μέσῳ», παριστῶν τὸ ἐξαίρετον, **226** τὸ δέ «μὴ ἅψησθε», πρὸς ἀσφάλειαν, ὥσπερ οὖν τό «γινώσκειν καλὸν καὶ πονηρόν», εἰς δήλωσιν τοῦ χρησίμου τῆς ἐντολῆς.

44
Γεν. 3,5

227 Δύο ταῦτα ἐξάγει τε ἡμᾶς τοῦ χείρονος καὶ προσάγει τοῖς κρείττοσιν, ἐπαγγελία καὶ φόβος, ὁ μὲν ἀφέλκων τοῦ κακοῦ, ἡ δὲ ἄγουσα τῷ καλῷ. Τούτου γὰρ ἕνεκεν καὶ ὁ Θεὸς τῇ τε ἀπειλῇ **228** τῆς τιμωρίας ἠσφαλίσατο τῆς ἐντολῆς τὴν παράβασιν, καὶ τῇ ἐπαγγελίᾳ τοῦ ξύλου τῆς ζωῆς ἐπὶ τὴν φυλακὴν αὐτῆς προετρέψατο. Μοχθηρότατα τοίνυν ὁ διάβολος τόν τε φόβον ἀνεῖλε τῷ εἰπεῖν· «Οὐκ ἀποθανεῖσθε»[2], καὶ προτροπὴν εἰσήγαγε τῷ εἰπεῖν· «Διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί» φαγόντων, «καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν»[3]. Ἐνταῦθα δὲ τὴν οἰκείαν ἐξήμεσε κακίαν· οὐ γὰρ εἶπεν· «Ἔσεσθε» ὡς θεός, ἀλλ' «ὡς θεοί», ἐντεῦθεν ἤδη προεθίζων αὐτοὺς τῷ μὴ μέγα τι νομίζειν τὸν Θεόν, μηδὲ μόνον αὐτὸν οἴεσθαι τοιοῦτον εἶναι, πολλοὺς δὲ κατ' αὐτὸν

---

1. Γεν. 3,3. **2.** Γεν. 3,4. **3.** Γεν. 3,5.

εἰληφέναι, ὡς καὶ ἑτέρους δυνατὸν εἶναι γενέσθαι τοιούτους. Τοιαῦτα προσήνεγκε τῇ γυναικὶ δηλητήρια.

Προκόπιος: [188] Δύο δὲ ταῦτα· ἐξάγει τε ἡμᾶς τοῦ χείρονος, καὶ προσάγει τοῖς κρείττοσιν, ἐπαγγελία καὶ φόβος· ὅθεν καὶ τιμωρίαν ἠπείλησεν ὁ Θεός, καὶ τὸ ξύλον τῆς ζωῆς ἐπηγγείλατο· ὁ δὲ διάβολος τὸν μὲν φόβον ἀφεῖλεν· «Οὐ θανάτῳ ἀποθανεῖσθε», ὀφθαλμῶν δὲ διάνοιξιν ἐπαγγέλλεται. ...Καὶ οὐκ εἶπεν ὅτι «Ἔσεσθε» ὡς θεός, ἀλλ' «ὡς θεοί», προεθίζων αὐτοὺς μὴ μέγαν νομίζειν τὸν Θεόν, μηδὲ μόνον οἴεσθαι τοιοῦτον εἶναι, δυνατὸν δὲ καὶ τὸ γενέσθαι τοιούτους ἑτέρους. Τοιαῦτα προσήνεγκε τῇ γυναικὶ δηλητήρια.

45
Γεν. 3,6

232 Οὐχ οἷόν τε ἦν οὔτε ταύτην προχείρως λαβοῦσαν δοῦναι, οὔτε ἐκεῖνον ἀβασανίστως δέξασθαι τὴν βρῶσιν. Εἰ μὲν γὰρ οὐκ ᾔδει τὸ διδόμενον, οὐδ' ἂν ἐμέμφθη· εἰ δὲ ᾔδει ὡς εἰκὸς καὶ ἐπέγνω, πάντως ἄν τι καὶ ἐφθέγξατο πρὸς τὴν δοῦσαν. Ἀλλ' ἡ μὲν γυνὴ τὰ τοῦ ὄφεως εἴτε τοῦ διαβόλου ῥήματα πάντως εἶπε πρὸς τὸν ἄνδρα, προσέθηκε δὲ καί τινα τυχόν, δι' ὧν πείθειν αὐτὸν ἡγεῖτο δέξασθαι τὴν βρῶσιν[1].

46
Γεν. 3,7

235 Ἐντεῦθεν οὐδὲ γυμνοὶ τῶν ἐνδυμάτων ὄντες ᾐσχύνοντο[2], ἐπειδὴ μηδὲ τοῖς παισὶν αἰσχύνη τις ἐκ τῆς γυμνώσεως γίνεται, τῆς μὲν φύσεως τῶν ἰδίων αἰσχυνομένης οὐδέν, λογισμοῦ δὲ μόνου τὴν αἰσχύνην εἰδότος.

Καὶ μετ' ὀλίγα.

Ἠδύνατο μὲν οὖν αὐτοῖς τελείοις οὖσι τὴν ἡλικίαν, αἰσχύνην ὁ Θεὸς τῆς γυμνώσεως ἐνθεῖναι· οὐκ ἠβουλήθη δὲ τοῦτο ποιῆσαι, ὡς ἂν μὴ δόξειεν αὐτοῖς τὴν αἰσχύνην ἐπάγειν, δῆλοι δὲ γένοιντο ἐκ τῆς ἁμαρτίας τὸ αἰσχύνεσθαι κτώμενοι. Ἐπεὶ καὶ βοήθημα τῆς ἁμαρτίας ἡ αἰσχύνη παρὰ τοῦ πεποιηκότος δέδοται τοῖς ἀνθρώ-

---

1. Πρβλ. Γεν. 3,6. **2.** Πρβλ. Γεν. 3,7.

ποις, αὐτάρκης οὖσα τὴν τῶν ἁμαρτημάτων ἐκκόπτειν ὁρμὴν ὅταν παρῇ. Ἐπὶ τοσοῦτον γοῦν ἴδοι τις ἂν ἐν ἁμαρτήμασι προκόπτοντας τοὺς ἀνθρώπους, ἐφ' ὅσον αὐτοῖς αἰσχύνης ἐνδεῖ, ὥσπερ καὶ τοὐναντίον καθ' ὅσον αἰσχύνεσθαι ἴσασιν.

236 Καὶ μετ' ὀλίγα.

Τοῦτο γὰρ καὶ ὁ μακάριος ἡμῖν ἠβουλήθη Μωυσῆς ἐπιδεῖξαι, ὅτι πρὸ τῆς ἁμαρτίας αἰσχύνης ἦσαν ἀπηλλαγμένοι, ὡς ἂν δῆλον ἡμῖν ποιήσειεν, ὅτι ἐκ τοῦ ἁμαρτάνειν εἰλήφαμεν τὸ αἰσχύνεσθαι, δεόμενοι τούτου διὰ τὴν τῆς ἁμαρτίας ὄχλησιν.

Προκόπιος: **[180]** Τινὲς δέ φασιν ὡς τέλειοι τὴν ἡλικίαν ὄντες, βραχύ τι παίδων κατὰ τὴν γνῶσιν διήλλαττον· οἱ μὲν γὰρ ἠδύναντο μαθεῖν, οἱ δὲ παῖδες ἐν τῷ νηπιάζειν ἀδύνατοι· ὅθεν οὐδὲ γυμνοὶ ὡς οὐδὲ παῖδες ᾐσχύνοντο, λογισμοῦ μόνου τὴν αἰσχύνην εἰδότος· διὸ μηδὲ τοῖς ἀλόγοις παρεῖναι ταύτην συμβαίνει. Θεὸς δὲ ταύτην ἐνθεῖναι τοῖς περὶ τὸν Ἀδὰμ τελείοις οὖσι τὴν ἡλικίαν δυνάμενος, οὐκ ἄξιον αὐτὸς ταύτην ἐπάγειν ἐνόμισεν, μέλλουσιν ἐκ τῆς ἁμαρτίας ταύτην λαβεῖν. Ἁμαρτίας γὰρ αἰσχύνη βοήθημα παρὰ Θεοῦ τοῖς ἀνθρώποις πεποίηται, τὴν ἐκ τῶν ἁμαρτημάτων ὁρμὴν ἀνακόπτουσα. Ὅσον γάρ τις ταύτης ὑπερορᾷ, πλημμελεῖ· διόπερ ἁμαρτίας ἀναιρουμένης ἐπὶ τοῦ μέλλοντος αἰῶνος, καὶ τὴν αἰσχύνην ἀναιρεθῆναι συμβήσεται. Τί γὰρ ἰατρείας δεήσει, μηκέτι παρενοχλοῦντος τοῦ πάθους;

47

Γεν. 3,7

239 Ἐκ φύλλων ἑαυτοῖς τραχυτάτων μηχανώμενοι τὴν σκέπην. Ὅτι οὐκ ἐξ ἑτέρου τινὸς ἐδέξαντο τὴν αἰσχύνην, ἀλλ' ἢ τοῦ Θεοῦ μετὰ τὴν ἁμαρτίαν ἐντεθεικότος αὐτοῖς, ὡς ἀναγκαίαν οὖσαν τοῖς πρὸς ἁμαρτίαν ὁρμῶσιν, ἵνα ὑπὸ τῆς αἰσχύνης ἀφέλκωνται, ἐξ αὐτῶν δῆλόν ἐστι τῶν πραγμάτων· οὐ γὰρ ἀλλήλοις πως συμπλακέντες ἦσαν, ὥστ' ἂν ἐντεῦθεν αὐτοὺς νομισθῆναι αἰσχύνης ἄξια ἐκεῖνα τοῦ σώματος ἡγήσασθαι τὰ μέρη.

Προκόπιος: **[192]** Ὅθεν ἐκ φύλλων συκῆς τὴν σκέπην αὐτοῖς ἐπενόησαν, οὔπω πεῖραν ἔχοντες γαμικῆς συμπλοκῆς, ἀλλ' ἐκ Θεοῦ τὴν ἐπὶ τούτοις αἰσχύνην κτησάμενοι.

48
Γεν. 3,8

242 Εὐθὺς τοίνυν ἡμαρτηκόσιν ὁ Θεὸς ἐπεφάνη, αἴσθησίν τε τοῦ ἁμαρτήσαντος ἐμποιῶν, καὶ πρὸς μεταμέλειαν ἐκκαλούμενος. [PG 10,585]

Προκόπιος: **[196]** Εὐθὺς τοίνυν ἡμαρτηκόσιν ὁ Θεὸς ἐπεφάνη, πρὸς μεταμέλειαν ἕλκων αὐτούς, [καὶ ῥαπτόντων ἔτι τὰ περιζώματα, τὴν οἰκείαν προσήγαγε παρουσίαν].

49
Γεν. 3,8

243 Τό «Ἤκουσαν τῆς φωνῆς Κυρίου περιπατοῦντος ἐν τῷ παραδείσῳ»[1], ἀνθρωπινώτερον ὡς πρὸς ἀνθρώπους φησὶν ἡ θεία Γραφή, ὡς τοῦ Θεοῦ εἰς ὑπόνοιαν ἀγαγόντος τοὺς περὶ τὸν Ἀδὰμ τοῦ περιπατεῖν αὐτὸν ἐν τῷ Παραδείσῳ. Καὶ παρουσίας αὐτοῦ ὑποψίαν ἐντίθησιν ὁ καὶ πρὸ τούτου παρών, ἵνα λαθεῖν σπουδάσαντες ἐκεῖνοι φωραθῶσιν· τοιγαροῦν θορυβούμενοι ὑπ' αὐτὸ τὸ δένδρον ἐκρύβησαν.

50
Γεν. 3,9

245 Πυνθάνεται οὐχ ἵνα μάθῃ — αὐτὴ γὰρ ἡ ἐρώτησις δείκνυσιν εἰδότα —, ἀλλ' ἵνα τῆς παρακοῆς αἴσθωνται· μεγίστη γὰρ τοῦ πταίσαντος κατηγορία τὸ κρύπτεσθαι[2].

51
Γεν. 3,10

248 [200] Διὰ τί ἐφοβήθης; διὰ τί ἐκρύβης; «Ἐφοβήθην» διὰ τὴν παράβασιν, «ἐκρύβην»[3] διὰ τὴν γύμνωσιν. [PG 56,493]

---

1. Γεν. 3,8. **2.** Πρβλ. Γεν. 3,9. **3.** Γεν. 3,10.

52
Γεν. 3,11

249 Καλῶς δὲ καὶ τό «Τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ;»[1] εἰ μὴ καὶ σφόδρα μετὰ πραότητος, ἐλεγκτικόν. Τίς γάρ σοι, φησίν, τούτου διδάσκαλος γέγονεν; Ἐγώ σε τοῦτο ποιῶν οὐκ ἐπαίδευσα· οὔτε γὰρ ἐγώ τι αἰσχρὸν ἡγούμην τῶν ὑπ᾽ ἐμοῦ γεγονότων, ἀλλ᾽ οὐδέ τί σε τῶν ἐν σοὶ φαῦλον ἢ αἰσχρὸν ὁρᾶν ἐδίδαξα· ὅθεν καὶ γεγονότι σοι γυμνῷ διελεγόμην, καὶ πάσης μετεδίδουν τῆς παρρησίας. Πῶς οὖν νῦν ἀθρόον ἐδιδάχθης «ὅτι γυμνὸς εἶ» καὶ ὅτι τοσαύτης αἰσχύνης ἄξιον τὸ πρᾶγμα, ὥστε καὶ σκέπην ζητεῖν καὶ κρύπτεσθαι διὰ τοῦτο; Ἀλλὰ γὰρ ἔοικας διδασκάλῳ χρήσασθαι κακῷ.

Προκόπιος: **[200]** Τὸ δέ «Τίς ἀνήγγειλέ σοι;» μετὰ πραότητος ἄγαν ἐλεγκτικόν. Ἐγὼ γάρ σε τοῦτο ποιῶν οὐκ ἐπαίδευσα· οὐδὲν γὰρ αἰσχρὸν ἡγούμην τῶν ὑπ᾽ ἐμοῦ γεγονότων, οὐδὲ ἐδίδαξά σε τῶν ἐν σοί τι φαῦλον ὁρᾶν.

53
Γεν. 3,12

252 Ἀλλ᾽ οὐκ ἐπὶ τούτῳ, ἔφη ἂν ὁ Θεός, τὴν γυναῖκα δέδωκα[2], ἵνα σοι κελεύῃ, οὐδ᾽ ἵνα σοι συμβουλεύῃ καὶ ἡγῆται τῶν πρακτέων· σὲ τοίνυν ἡγεῖσθαι προσῆκον ἦν, ἕπεσθα δὲ ἐκείνην.

Προκόπιος: **[200]** Ἀλλ᾽ οὐκ ἐπὶ τούτῳ, ἔφη ἂν ὁ Θεός, τὴν γυναῖκα δέδωκα, ἵνα σοι τῶν πρακτέων ἡγῆται.

54
Γεν. 3,13

253 **[201]** Ἔθος τοῖς ἀπατωμένοις μετὰ τὴν ἔκβασιν ἐπαισθάνεσθαι τοῦ κακοῦ· κατὰ γὰρ τὴν ἀρχήν, τῆς ἡδονῆς ἐπικρυπτούσης τὴν αἴσθησιν, οὐ γίνεται ἐπίγνωσις.

---

1. Γεν. 3,11. **2.** Πρβλ. Γεν. 3,12.

55
Γεν. 3,13

254 ...καλῶς τὸ πᾶν τῷ ὄφει περιάψασα[1], ἐπειδὴ ἅπαν ἐκεῖνος γεγέννηκε τὸ κακόν, εἴτ' οὖν ὁ ἐν ἐκείνῳ φθεγξάμενος. Ἐπὶ τούτοις δείκνυσιν ὁ Θεὸς ὅτι καὶ τὴν πρὸς τούτους διάλεξίν τε καὶ ἐρώτησιν ἐποιήσατο, οὐκ ἐπὶ τό τι μαθεῖν ὧν οὐκ ᾔδει, ἀλλ' ἐπὶ τὸ μόνον ἐλέγξαι τε καὶ εἰς αἴσθησιν ἀγαγεῖν αὐτοὺς τοῦ ἁμαρτήματος, ἵνα τὴν προσήκουσαν ἐπὶ τῷ πταίσματι διόρθωσιν δέξωνται.

Προκόπιος: **[201]** [Διὰ φειδὼ πάλιν ὡς ἀγνοήσας πυνθάνεται, μὴ λέγων γυμνῶς τὸ πλημμέλημα· **255** ὅθεν θαῤῥήσασα], τῷ ὄφει προσάπτει τὸ πᾶν, ἐπειδὴ ἅπαν ἐκεῖνος γεγέννηκε τὸ κακόν. Καὶ δείκνυσιν ὁ Θεὸς ὡς οὐ δι' ἄγνοιαν τὰς ἐρωτήσεις πεποίηται, ἀλλ' ὅπως ἐλέγξας εἰς αἴσθησιν αὐτοὺς ἀγάγῃ τοῦ πλημμελήματος.

56
Γεν. 3,14

Οὐκέτι τὸν ὄφιν ἐρωτᾷ, μᾶλλον δὲ τὸν διάβολον, ὅτι μηδὲ διορθώσεως ἢ παιδείας ἄξιος ἦν. Ἀλλ' εἰδὼς ὅτι τὸ μὲν ἑρπετὸν ὁ ὄφις, οὐδὲν ἠδίκησεν, ὁ δὲ διάβολος ὁ ἐνεργήσας ἐν αὐτῷ, τὴν μὲν κατ' αὐτοῦ κόλασιν ταμιεύεται τετηρημένην τῷ αἰωνίῳ πυρί, τὸ δὲ ἑρπετὸν καταχρίνει φανεροῖς ἐπιτιμίοις, μηδὲν μὲν αὐτὸν φυσικῶς ἀδικοῦσιν, μνημόσυνον δὲ αἰώνιον ὁρωμένοις τῷ ἀνθρώπῳ τῆς αὐτοῦ παραβάσεως.

57
Γεν. 3,14

258 **[204]** Τινὲς δὲ πρὸς τὸν αἰσθητὸν ὄφιν εἰρῆσθαι νομίσαντες, **259** ᾠήθησαν ὄρθιόν ποτε τὸν ὄφιν εἶναι, οὐ **[205]** λογισάμενοι ὅτι οὐκ ἂν ἐξ ἁπάντων τῶν ἑρπετῶν ὁ Θεὸς ἐκεῖνον μόνον ὄρθιον ἐποίησεν. Ἀλλ' ἐπειδὴ ὁ διάβολος ἀντιπρόσωπον αὐτὸν ὤρθωσε τῇ γυναικί, διὰ τοῦτο εἴρηται τό «Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ»[2].

---

1. Γεν. 3,13. **2.** Γεν. 3,14.

58
Γεν. 3,14

260 Λέγει μὲν κἀνταῦθα τὸ τῶν ἑρπετῶν ἴδιον, ὡς ἐκ τῆς γῆς τρεφομένων· αἰνίττεται δὲ τὸν διάβολον, ὡς τῶν οὐρανίων μὲν καὶ ὑπὲρ γῆν ἀγαθῶν πάντων ἄμοιρον ἐσόμενον τοῦ λοιποῦ, ἐπὶ γῆς δὲ πᾶσαν ἕξοντα τὴν διατριβήν, καὶ οὐδὲ ἐν ταύτῃ μεθέξοντά τινος ἀγαθοῦ, πᾶσαν δὲ ἐν τούτῳ θησόμενον τὴν ἀπόλαυσιν, εἰ δήπου τὴν ἑαυτοῦ κακίαν ἐκπληρῶσαι περί τινα δυνηθείη.

Προκόπιος: [205] Καὶ γῆν αὐτοῦ φησι τὴν τροφήν, τὸ τῶν ἑρπετῶν ἴδιον.

59
Γεν. 3,15

263 Ἵνα εἴπῃ· Μάτην ἡ σπουδὴ παρὰ σοὶ γέγονεν, ὡς ἕξοντι τούτους οἰκείους· ἴσθι γὰρ ἄσπονδον ἐσόμενον, σοί τε πρὸς τούτους καὶ τούτοις πρὸς σέ, τὸν πόλεμον. Δοκεῖ μὲν γὰρ κἀνταῦθα λέγειν, ὅτι ἄσπονδος τοῖς ἀνθρώποις ἐστὶ καὶ τοῖς ἑρπετοῖς ὁ πρὸς ἀλλήλους πόλεμος, αἴνιγμα δὲ τῆς πρὸς τὸν διάβολον ἔχθρας ἡμῶν.

Προκόπιος: [205] Τὸ δέ *«Ἔχθραν θήσω»*[1] δοκεῖ καὶ αὐτὸ δηλοῦν, ὡς ἄσπονδος ἑρπετοῖς καὶ τοῖς ἀνθρώποις ὁ πόλεμος, ‹αἰνίττεται δὲ› τὴν πρὸς τὸν διάβολον ἔχθραν ἡμῶν.

60
Γεν. 3,15

266 «Πτέρναν» δὲ ὡς εἰκὸς ὀνομάζει τὴν ὁδόν, ἥτις ἐστὶν ἡ πρᾶξις· ὡς τό «Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με»[2], ἵνα εἴπῃ ὅτι τοῦτό μοι φοβερόν, ἐὰν περὶ τὴν τῆς ἀνομίας πρᾶξιν ἀσχοληθῶ καὶ ταῦτα προθῶμαι ποιεῖν. Τὸ οὖν «Καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν»[3], ἀντὶ τοῦ οὐκ ἰσχύσεις κατ᾽ αὐτοῦ, εἰ μὴ δι᾽ ὧν προαιρεῖται καὶ πράττει, δῴη σοι τοῦ δυνηθῆναι κατ᾽ αὐτοῦ χώραν.

---

1. Γεν. 3,15. **2.** Ψαλ. 48,6. **3.** Γεν. 3,15.

Προκόπιος: **[208]** ...καὶ εἰς κατὰ τὴν ὁδὸν τοῦ βίου καὶ τὴν πρᾶξιν μὴ ῥᾳθυμήσαντες, ἣν «πτέρναν» καλεῖ, πάροδον αὐτῷ παρέχομεν καθ' ἡμῶν. Τοιοῦτόν ἐστι καὶ τό «Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με»· τοῦτο γάρ μοι, φησίν, φοβερόν, ἐὰν περὶ τὴν τῆς ἀνομίας πρᾶξιν ἀσχοληθῶ.

61
Γεν. 3, 17-20

273 Χριστὸς δὲ δι' ἀγαθότητα **[217]** μετασκευάζει πρὸς ζωὴν αἰώνιον, ἀνάστασιν νεκρῶν ὑποσχόμενος καὶ δείξας δευτέραν ταύτην ἀθανασίαν, διὰ δευτέρου ξύλου σταυροῦ καὶ θανάτου τοῦ δευτέρου 'Αδὰμ μηχανώμενος· ἐπεὶ γὰρ διὰ ξύλου θάνατος[1], καὶ διὰ ξύλου ζωή, οὐ μόνῳ τῷ πρώτῳ 'Αδὰμ ἀλλὰ καὶ πᾶσιν.

62
Γεν. 3, 19

281 Καὶ τί ἂν ἕτερον τοιοῦτον γένοιτο γνώρισμα τῆς θείας ἀγαθότητος; Πρόδηλον γὰρ ὅτι οὐ τοῦ 'Αδὰμ ἦν εἰδέναι ὅτι γένος ὅλον ἀνθρώπων κατὰ διαδοχὴν συστήσεται, καὶ ὅτι πάντων ἔσται μήτηρ[2], αὕτη τε δι' ἧς πρῶτον ἐτέχθησαν ἄνθρωποι, καὶ λοιπαὶ δὲ καὶ καθ' ἑξῆς γυναῖκες καθ' ὁμοιότητα ταύτης ἀνθρώπους γεννῶσαι.

Προκόπιος: **[217]** Οὐχ ἦν δὲ τοῦ 'Αδὰμ εἰδέναι ὡς ἐξ αὐτῶν πᾶν τὸ ἀνθρώπειον γένος ἔσται, μὴ τοῦ Θεοῦ τὴν πρόγνωσιν ἐνεργήσαντος, ἐξ ἧς καὶ τοὔνομα τέθειχεν.

63
Γεν. 3, 21

286 Φησὶν οὐχ ἀπὸ ζῴων τὰ δέρματα τῶν χιτώνων[3], ἀλλὰ τῶν δένδρων τὰ φλοιά.

Προκόπιος: **287** **[220]** Ἠγνόησαν, φασίν, οἱ περὶ τούτων ζητοῦντες, ὅτι δέρματα οὐ μόνον τὰ ἐκ τῶν ζῴων λέγεται, ἀλλὰ καὶ τὰ ἐκ τῶν δένδρων, ἃ καὶ φλοιοὺς ὀνομάζειν ἔθος.

---

1. Πρβλ. Γεν. 3,17. **2.** Πρβλ. Γεν. 3,19. **3.** Πρβλ. Γεν. 3,21.

64

Γεν. 3, 22

288 **[221]** Ἐλεγκτικῶς τὴν οἴησιν τοῦ Ἀδὰμ πεισθέντος τῇ πλάνῃ τοῦ ὄφεως μεμφόμενος λέγει. Τινὲς δὲ κατὰ διασυρμὸν ἔφασαν, ἄλλοι κατ' εἰρωνείαν.

Ἔστι δὲ ταῦτα τοῖς τῆς ἀποφάσεως λόγοις ἀκόλουθα, πρὶν ῥηθῆναι τὰ περὶ τοῦ ὀνόματος τῆς γυναικὸς καὶ τῶν δερματίνων χιτώνων. Ἐπειδὴ γὰρ μεγάλα φαντασθεὶς ἐξ ἀνοίας ἠπάτηται, καλῶς μετὰ τὴν ἀπόφασιν, τούτοις αὐτὸν ἐπιστύφει τοῖς ῥήμασιν. Πάνυ γε, φησίν, ἐκβέβηκέ σοι τὰ τῆς ὑπονοίας. Διὰ τοῦτο καὶ τό «Ὡς εἷς ἐξ ἡμῶν»[1] πρὸς τὴν ὑπόνοιαν εἴρηται, ἐπειδήπερ ἔφησεν ὁ διάβολος· «Ὡς θεοί», ἀμφότερα πλήττων, καὶ ὅπερ ἐνόμισε γίνεσθαι, καὶ τὸ πολλοὺς εἶναι θεούς, τό τε ψεῦδος ἐκείνου δηλῶν καὶ τούτου τὴν ἄνοιαν. Ἅμα δὲ παρίστησι καὶ τὴν εἰς τοὐναντίον μεταβολήν, ἐκ θείας ἐλπί**[224]**σθείσης φύσεως γεγονότος θνητοῦ.

Ἐν δὲ τῷ Ἑβραϊκῷ φασι διὰ τῶν αὐτῶν γράφεσθαι τό "θεός" καί "θεοί"· τινὲς οὖν "ὡς θεός" ἀνέγνωσαν.

65

Γεν. 3, 23

295 Ἔνιοι δὲ ἄπιστόν πως ἡγήσαντο τὸ καὶ ἐπὶ τῆς αὐτῆς ἡμέρας γεγονότα τὸν Ἀδὰμ εὐθὺ παραβῆναί τε καὶ ἐκβληθῆναι τοῦ Παραδείσου[2]. Δέον πρῶτον μὲν ἐκεῖνο συνιδεῖν ὅτι ῥᾷον ἐκ προοιμίων ὑπέμενε τὴν ἀπάτην, ἢ μετὰ τὸ πολὺν ἐμμελετῆσαι **296** χρόνον τῇ τηρήσει τῆς ἐντολῆς, δεύτερον ὅτι τοῖς ἔξω τοῦ παραδείσου καθίστασθαι μέλλουσιν εἰς τὸ παντελές, οὐδὲν ὄφελος ἐγίνετο ἐν πλείοσιν ἡμέραις τῆς ἐκεῖθεν ἀπολαύσασι τροφῆς.

Προκόπιος: **[229]** Θαυμαστὸν δέ τινες ἡγοῦνται καὶ ἄπιστον τὸ τῆς αὐτῆς ἡμέρας γεγονότα τὸν Ἀδὰμ παραβῆναί τε καὶ ἐκβληθῆναι τοῦ Παραδείσου· οἷς ἀντιλέγουσιν ἕτεροι ὅτι ῥᾷον ἐκ προοιμίων ὑπέμενε τὴν ἀπάτην, ἢ μετὰ τὸ πολὺν ἐμμελετῆσαι χρόνον τῇ τηρήσει τῆς ἐντολῆς, ἔπειτα τοῖς ἔξω τοῦ Παραδείσου καθίστασθαι μέλλουσιν, οὐδὲν ὄφελος ἦν ἐν πλείοσιν ἡμέραις ἐναπολαῦσαι τῇ τούτου τρυφῇ.

---

1. Γεν. 3,22. **2.** Πρβλ. Γεν. 3,23.

66
Γεν. 3,24

299 Συμμετροῦντός ἐστι καὶ τοῦτο τὴν τιμωρίαν. Ὀργιζομένου μὲν γὰρ βασιλέως, ἐνεργὸν καὶ πικρὰν ἐπάγοντος τοῖς ἐπταικόσι τὴν τιμωρίαν, τὸ πόῤῥω που ἐν ἐρήμοις τε καὶ ἀπῳκισμένοις τόποις ποιεῖν τὸν ὑπὸ τὴν τιμωρίαν γινόμενον· τὸ δὲ πλησίον τῶν βασιλέων εἶναι κελεύειν, ἔξω μόνον τῆς βασιλικῆς γεγονότα πόλεως, ἡμερότητός ἐστιν, καί τινα ἀνακλήσεως ἐντιθέντος ἐλπίδα.

Προκόπιος: **[225]** Συμμετρῶν δὲ τὴν τιμωρίαν, «κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς»[1] ὥσπερ βασιλεὺς ἀγαθὸς οὐ μακρὰν τὴν ἐξορίαν ποιούμενος, ἀλλ' οἷον πρὸ τῆς βασιλίδος πόλεως, ἐλπίδας αὐτῷ διδοὺς ἀνακλήσεως.

67
Γεν. 3,24

300 Ἀνεπίβατον ἠβουλήθη δεῖξαι παντελῶς ὄντα τῷ Ἀδὰμ τὸν Παράδεισον ὁ Θεός, ἵνα μείζονα ἔχων τῆς ἁμαρτίας τὴν αἴσθησιν, μισεῖν τε αὐτὴν καὶ ἀποστρέφεσθαι παιδεύηται, ὅτι ὧνπερ μετὰ πολλῆς ἀπήλαυε πρότερον τῆς ἀδείας, τούτων ἐπιβαίνειν κεκώλυκε παντελῶς. Τούτου γε ἕνεκεν τήν τε «φλογίνην ῥομφαίαν»[2] ἔταξεν καὶ τά «χερουβίμ», ἀνεπίβατον αὐτῷ δεικνύντα τὸν Παράδεισον.

68
Γεν. 3,24

304 Τὴν μὲν γάρ «φλογίνην ῥομφαίαν» λέγει, ἀντὶ τοῦ φοβερὸν πῦρ ἐξαστράπτον ἐν σχήματι ξίφους ἐκτεταμένον, ὡς ἂν δειχθῇ φοβερά τις ἡ τῶν ὁρώντων ὄψις ἔκ τε τῆς φύσεως, ἔκ τε τοῦ σχήματος τοῦ δεικνυμένου. Ἣν καὶ «στρεφομένην» εἶπεν, ὡς ἂν τῇ **305** συνεχείᾳ τῆς κινήσεως ἐξαστράπτουσαν, φοβερὰν καὶ μείζονα τῷ θεωμένῳ τὸν φόβον ἐμποιοῦσαν. Τά «χερουβίμ» δὲ ζώων λέγει τινὰς μορφὰς καταπληκτικὰς ἱκανὰς φοβεῖν τὸν ὁρῶντα. [PG 66, 634-635]

---

1. Γεν. 3,24. **2.** Ἔνθ' ἀν.

Προκόπιος: **[228]** ...φοβεραί τινες ὄψεις, πῇ μὲν πυρὸς φοβεροῦ καὶ τῇ κινήσει μᾶλλον ἀστράποντος ἐν ξίφους σχήματι, πῇ δὲ ζῴων μορφαί τινες καταπληκτικαί.

69
Γεν. 3,24

Τὸ οὖν «Ἔταξε τὰ χερουβίμ», ἵνα εἴπῃ δυνατήν τινα καὶ φοβερὰν ὄψιν καὶ μορφήν, ὡσανεὶ τινων ζῴων, ἐπέστησε τῇ εἰσόδῳ τοῦ Παραδείσου, ἵνα ἀμφότερα, τῆς τε «φλογίνης ῥομφαίας» ἡ ὄψις καὶ ἡ τῶν «χερουβίμ» πόῤῥωθεν ἀπείργῃ τὸν Ἀδὰμ τῆς εἰς τὸν Παράδεισον εἰσόδου. [PG 66, 635-636]

ΤΟΜΟΣ ΙΙ

70
Γεν. 4,7

16 Πρὸς μὲν τὸν Κάϊν περὶ τοῦ Ἄβελ λέγεται· «Σὺ ἄρξεις αὐτοῦ»[1], πρὸς δὲ τὸν Ἰακὼβ περὶ τοῦ Ἡσαῦ· «Γενοῦ κύριος τοῦ ἀδελφοῦ σου»[2].

71
Γεν. 4,17

40 [253] Συγχωρεῖ τὰς ἀδελφομιξίας τῶν τοῦ Ἀδὰμ τέκνων ὁ Θεός, τοὺς μερισθέντας ἐξ ἑνὸς αἵματος εἰς μίαν ἀγάπην ἡνῶσθαι βουλόμενος· ὕστερον δὲ ἐκταθεῖσαν εἰς πλῆθος τὴν γενεὰν ἐκώλυσε κεχρῆσθαι τοῖς αὐτοῖς.

72
Γεν. 6,17

107 Τὸ καθολικὸν μήτιγε ἐπὶ τῶν ἐπὶ γῆς μόνον ἐστίν.

---

1. Γεν. 4,7. **2.** Γεν. 27,29.

ΤΟΜΟΣ ΙΙΙ

73
Γεν. 15, 9-12

52 α. Πρὸς τοῦτο ὁ Θεὸς τρία γένη τῶν εἰς καταδούλωσιν ἡμῖν καὶ κατάχρησιν καὶ βρῶσιν ἐκδεδομένων ζῴων παράγειν ἐκέλευσεν, τριετίζουσαν δάμαλιν καὶ κριὸν καὶ αἶγα, καὶ διχοτομηθῆναι, καὶ τρυγόνα καὶ περιστερὰν ἄτμητον, καὶ ἐκθεῖναι πάντα, κατελθεῖν τὰ ὄρνεα ἐπὶ τὰ διχοτομήματα, ἐκθεῖναι πάντα, κατελθεῖν τὰ ὄρνεα ἐπὶ τὰ διχοτομήματα, συγκαθίσαι θεασάμενον τὸν Ἀβραάμ[1], δηλῶν τὴν τῶν τριῶν γενεῶν αὐτῶν ὁμοίως καταδούλωσιν καὶ τιμωρίαν, καὶ τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν ὡς αἱ τρυγόνες, καὶ τὴν αὐτῶν ἐπάνοδον καὶ συνοίκησιν εἰς τὰ οἰκεῖα ὡς αἱ περιστεραί, καὶ τὴν τῶν ἐναντίων καταδρομὴν ὥσπερ τὴν τῶν ὀρνέων, καὶ τὴν ἐκ πάντων τούτων φυλακήν, τοῦ Θεοῦ ἀποδιώκοντος ῥᾳδίως ὥσπερ τὰ ὄρνεα ὁ Ἀβραάμ, ἵνα μὴ τούτοις λυμήνωνται. Οὐδὲν τούτων οὔτε συμβολικῶς οὔτε κατ' οἰωνιστικὴν ἐπιστάμενος τέχνην, καὶ τοῦτο δείκνυσιν ἡ θεία Γραφή· ὡς γὰρ μὴ γνόντα διδάσκει λέγουσα· «Περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἀβραάμ»[2] καὶ τὰ ἑξῆς.

β. Δάμαλιν τριετίζουσαν καὶ κριὸν καὶ αἶγα· καὶ ταῦτα μὲν διχοτομεῖ, τὴν δὲ τρυγόνα καὶ περιστερὰν ἄτμητα ἀφίησι, δηλῶν τὴν τῶν τριῶν **53** γενεῶν καταδούλωσιν καὶ τιμωρίαν, καὶ τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν ὡς αἱ τρυγόνες, καὶ τὴν εἰς τὰ οἰκεῖα ἐπάνοδον καὶ συνοίκησιν ὡς αἱ περιστεραί, καὶ τὴν τῶν ἐναντίων καταδρομὴν ὥσπερ τὴν τῶν ὀρνέων, καὶ τὴν ἐκ τούτων φυλακήν, ὑπὸ τοῦ Θεοῦ ῥᾳδίως ἀποδιωκομένων ὥσπερ τὰ ὄρνεα ὑπὸ τοῦ Ἀβραάμ.

Προκόπιος: **[348]** Ὅθεν ὁ Θεὸς διὰ τῶν τριῶν αὐτῶν ζῴων δηλοῖ τὴν τῶν τριῶν γενεῶν αὐτῶν ὁμοίως καταδούλωσιν καὶ τιμωρίαν, ἐπεὶ καὶ τὰ ζῷα ταῦτα πρὸς καταδούλωσιν καὶ βρῶσιν ἀναγκαίαν ἡμῖν παραδέδοται, καὶ τὴν ἐν τῇ ἐρήμῳ διατριβὴν ὡς αἱ τρυγόνες, καὶ τὴν αὐτῶν ἐπάνοδον καὶ συνοίκησιν εἰς τὰ οἰκεῖα ὡς αἱ περιστεραί, καὶ τὴν ἐκ τῶν Αἰγυπτίων βλάβην καὶ πάντων τῶν ἐναντίων καταδρομὴν ὥσπερ τὴν τῶν ὀρνέων, καὶ τὴν ἐκ πάντων τούτων φυλακήν, τοῦ Θεοῦ ἀποδιώκοντος ῥᾳδίως ὥσπερ τὰ ὄρνεα ὁ

---

1. Πρβλ. Γεν. 15,9-12. **2.** Γεν. 15,12.

᾿Αβραάμ, ἵνα μὴ τούτοις λυμήνωνται. Καὶ ταῦτα δηλοῦται διὰ τοῦ «Γιγνώσκων γνώσῃ»[1], καὶ τὰ ἑξῆς.

74
Γεν. 15, 9-12

54 Οὐ τούτοις οὖν ἐπίστευσεν οὐδὲ διὰ τούτων τῷ Θεῷ ὁ ᾿Αβραάμ, ὥσπερ οἱ διὰ τούτων μαντευόμενοι, ἀλλὰ μᾶλλον διὰ τὸν εἰρηκότα Θεὸν τούτοις ἐπίστευσεν· ἐπιτρέπεται γὰρ αὐτὸς τοῦτο ποιῆσαι. Οὐδεὶς δὲ ἢ συμβολικῶς ἢ οἰωνιστικῇ χρώμενος ἐξ ὧν αὐτός τι ποιεῖ μαντεύεται, ἀλλ᾿ ἐκ τῶν ἔξωθεν συμβαινόντων· οὔτε μὴν ἐκ τῆς περὶ αὐτὰ κατανοήσεως ὥσπερ οἱ λεγόμενοι θῦται, ὥστε πανταχόθεν καθαρεύειν τούτων τὸν ᾿Αβραάμ. Ὁ μήτε κατὰ συμβολικὴν τέχνην μήτε κατ᾿ οἰωνιστικὴν μήτε κατὰ θυτικὴν ἢ ὅλως μαντικὴν πιστεύσας τῷ Θεῷ, ἀλλὰ τοὐναντίον διὰ τὸν Θεὸν τούτοις, ὡς χωρὶς τοῦ εἰπεῖν τὸν Θεόν, μήτε σημαινόντων τι μήτε δηλούντων τἀληθές.

Προκόπιος: [348] Καὶ πεπίστευκεν οὐ τοῖς συμβόλοις ὥσπερ ἐν μαντικῇ, ἀλλὰ τῷ εἰπόντι Θεῷ· ἐπετράπη γὰρ ποιεῖν. Οὐδεὶς δὲ ἐξ ὧν αὐτός τι ποιεῖ, ἀλλ᾿ ἐκ τῶν ἔξωθεν συμβαινόντων, κατ᾿ οἰωνοσκοπίαν μαντεύεται· οὔτε μὴν ἐκ τῆς περὶ ταῦτα κατανοήσεως ἔμαθεν ὡς οἱ λεγόμενοι θῦται. Οὐκ ἄρα συμβολικὸς ἢ οἰωνιστὴς ἢ θύτης ἦν ᾿Αβραάμ· διὰ τὸν Θεὸν δὲ τούτοις ἐπίστευσεν, ὡς ἂν μὴ δηλοῦσι καθ᾿ ἑαυτὰ μηδὲν ὑγιές.

75
Γεν. 15,9-12

Κατηγορία δὲ ἀληθῶς ἐστι καὶ συκοφαντία τοῦ ᾿Αβραάμ, τὸ οἴεσθαι μαντικῇ χρῆσθαι πρὸς βεβαίωσιν τῶν λεγο55μένων ὑπὸ Θεοῦ. Ἡ μὲν γὰρ οἰωνιστικὴ ἀπὸ μόνης τῆς τῶν ὀρνέων κατανοήσεως γίνεται· ἐνταῦθα δὲ πάντα μέμικται, ἵνα μὴ δόξῃ κατὰ ταύτην ἢ κατ᾿ ἐκείνην τὴν παρατήρησιν γίνεσθαι τὸ δεικνύμενον. Οὐ μὴν οὐδὲ θυσίαν ποιησάμενος φαίνεται ἀλλὰ διχοτομήσας[2], εἰ μή τις καὶ τοὺς κατ᾿ ἀγορὰν κρεοπωλοῦντας θυσίας ποιεῖν ἀποφήνειε καὶ πάντας τοὺς θύοντας.

---

1. Γεν. 15,13. 2. Πρβλ. Γεν. 15,11.

Προκόπιος: **[348]** Οὐ δεῖ δὲ νομίζειν, κατὰ τοὺς ἀνοσίως τοῦτο νομίσαντας, ὡς Ἀβραὰμ μαντικῇ τῇ διὰ τούτων ἐχρήσατο· πάντα γὰρ μέμικται, ἵνα μὴ κατὰ ταύτην ἢ κατ' ἐκείνην δόξῃ τὴν παρατήρησιν γίνεσθαι τὸ δεικνύμενον. Οὐ μὴν οὐδὲ θυσίαν ποιησάμενος φαίνεται ἀλλὰ διχοτομήσας.

76
Γεν. 15,12

58 Τουτέστι ἔξω τῆς τῶν παρόντων αἰσθήσεως γεγονὼς κατέστη τὴν διάνοιαν εἰς τὸ τὴν τῶν ἀποκαλυπτομένων δέξασθαι θεωρίαν.

77
Γεν. 18,8

116 α. Οὕτω λέγει ὁ Προφήτης ὅτι «ἔφαγον»[1] ὡς τό «τρεῖς ἄνδρες»[2]. Οὔτε γὰρ τῇ φύσει «ἄνδρες» ἦσαν, ἀλλ' ἐδόκουν εἶναι τῇ ὄψει· οὔτε «ἔφαγον» κατὰ νόμον ἀνθρώπων, ἐδόκουν δὲ ἐσθίειν τῇ ὄψει τῶν ὁρώντων, ἀναλισκομένων τῶν προτιθεμένων ὡς εἰκὸς κατ' ἐνέργειαν θείαν.

β. Οὔτε τῇ φύσει «ἄνδρες» ἦσαν, ἀλλ' ἐδόκουν εἶναι· οὔτε «ἔφαγον» ὡς ἄνθρωποι, ἀλλ' ἐδόκουν ἐσθίειν τῇ ὄψει τῶν ὁρώντων, ἀναλισκομένων τῶν προτιθεμένων κατὰ θείαν ἐνέργειαν.

78
Γεν. 18,8

119 Ζητητέον εἰ οἱ Ἄγγελοι ἔφαγον παρὰ τῷ Ἀβραάμ[3]. Οὐκ ἔφαγον, ἀλλ' ἐνεργείᾳ ἀοράτῳ κατηνάλωσαν τὰ παρακείμενα, προσποιήσει τοῦ φαγεῖν. Καὶ ὅτε πρὸς Γεδεὼν ἦλθεν ὁ Ἄγγελος, παρέθηκεν αὐτῷ κρέας καὶ ἀζύμους, καὶ ἐξῆλθε «πῦρ ἐκ τῆς πέτρας», *καί* «κατέφαγε» αὐτά[4]. Καὶ ὅτε Μανωὲ ὁ πατὴρ Σαμψὼν εἶδε τὸν Ἄγγελον, λέγει αὐτῷ· «Παραβιασόμεθά σε καὶ ποιήσωμέν σοι ἔριφον»· λέγει ὁ Ἄγγελος· «Ἐὰν παραβιάσῃ με, οὐ φάγωμαι ἀπὸ τῶν ἄρτων σου· ἐὰν ποιήσῃς ὁλοκαυτώματα, ἀνοίσεις

---

1. Γεν. 18,8. **2.** Γεν. 18,2. **3.** Πρβλ. Γεν. 18,8. **4.** Κριτ. 6,19-21.

Κυρίῳ». Καὶ ἐπάγει ἡ Γραφή· ὅτι «οὐκ ἐπέγνω Μανωὲ ὅτι Ἄγγελός ἐστιν» οὗτος[1]. Ὅτι οὐκ ἂν παρέθηκεν· ἀγνοῶν δὲ ἐποίησεν ἄν, εἰ μὴ ἠρνήσατο ὁ Ἄγγελος.

79
Γεν. 18,33

136 α. Τῆς πρὸς τὸν Ἀβραὰμ διαλέξεως ἀποπαυσάμενος ὁ Κύριος ἀνεχώρησεν[2]. Εὔδηλον δὲ ὅτι κατὰ τὴν ὀπτασίαν καθ' ἣν καὶ παρεγένετο, οὐ τόπον ἐκ τόπου.

β. Εὔδηλον ὅτι κατὰ τὴν ὀπτασίαν, οὐ τόπον ἐκ τόπου.

80
Γεν. 19,1

137 [369/70] Πρὸς μὲν Ἀβραάμ, οἱ «τρεῖς ἄνδρες» καί «μεσημβρίας»[3], εἰς Σόδομα δέ, «οἱ δύο Ἄγγελοι, ἑσπέρας»[4]. Τὰ γὰρ καλὰ φωτὶ ἔοικεν, τὰ δὲ κακὰ ἑσπέρᾳ, δύνοντος αὐτοῖς τοῦ τῆς δικαιοσύνης ἡλίου[5].

Νὺξ γάρ ἐστι καὶ σκότος ἡ τιμωρία τῶν ἀσεβῶν, οἱ δὲ δίκαιοι «ὁμοίως φωτὶ λάμπουσι»[6]. Σημειωτέον δὲ ὅτι ἔνθα μὲν ἦν ἀγαθῶν μήνυσις, ὁ Δεσπότης παρῆν, ἐπὶ τὴν τιμωρίαν δὲ οὐκ αὐτὸς παραγίνεται, δεικνὺς ὅτι τὸ μὲν εὖ πάσχειν τοὺς ἀνθρώπους καθ' ἡδονὴν αὐτῷ γίνεται, ὥστε καὶ αὐτουργεῖν ἐν τοῖς τοιούτοις τρόπον τινὰ αἱρεῖσθαι, τὰς τιμωρίας δὲ οὐκ ἐθέλων μέν, διὰ δὲ τὴν χρείαν ἐπάγων, τοῖς ὑπηρέταις χρῆται.

81
Γεν. 19,31

168 [641] Οὐκοῦν οὐ πάθος ἀκολασίας ἤλασεν αὐτὰς ἐπὶ τοῦτο, ἀλλὰ φειδὼ τοῦ γένους· ὅθεν εὐσύγγνωστοι.

---

1. Κριτ. 13,15-16. **2.** Πρβλ. Γεν. 18,33. **3.** Γεν. 18,1-2. **4.** Γεν. 19,1. **5.** Πρβλ. Μαλ. 3,20. **6.** Παρμ. 4,18.

82
Γεν. 19,31

170 α. Πόθῳ παραμυθίας μεθύσκουσιν αἱ θυγατέρες τὸν πατέρα καὶ συγκαθεύδουσιν, ἀπολωλέναι τὸ ἀνθρώπινον γένος ὑποτοπήσασαι καὶ πυρὶ πάντα κατηναλῶσθαι. Περσικὴν μίξιν — ἐκείνων γὰρ τὸ μίγνυσθαι τοῖς γεννήσασιν, ὅθεν ἦν ὁ Λὼτ — ὑποστᾶσαι δέει τοῦ μὴ τὴν **171** ἀνθρωπείαν φύσιν ἀφανισθῆναι, κλέπτουσι τοῦ πατρὸς τὴν κοίτην μεθύοντος[1]. ᾔδεισαν γὰρ νήφοντος τὴν σωφροσύνην.

β. **[644]** Κλέπτουσι δὲ τοῦ πατρὸς τὴν κοίτην· ᾔδεισαν γὰρ νήφοντος τὴν σωφροσύνην αὐτοῦ.

83
Γεν. 20,2

178 [377] Ζητεῖται πῶς βασιλεύς, τρυφῶν καὶ ἐπ' ἀδείας ἔχων ὅσας βούλεται καλάς τε καὶ εὐειδεῖς γυναῖκας λαβεῖν, ἔλαβε τὴν Σάῤῥαν ἐνενηκοντοῦτιν[2]· διότι καὶ αὐτὸς ἦν πρεσβύτης καὶ οὐκ ἄν, ἀφεὶς νέας, πρεσβυτέρας ἀντεποιήθη μίξεως. Δίκαιος ἦν καὶ εἶδεν δίκαιον τὸν Ἀβραὰμ τοιαύτην δὲ καὶ τὴν Σάῤῥαν, καὶ ἠθέλησεν ἑαυτῷ σπέρμα ἀπὸ τοιαύτης ἐξαναστῆσαι.

Προκόπιος: Ζητεῖται πῶς βασιλεὺς τρυφῶν, πολλὰς καὶ καλὰς τῷ εἴδει λαμβάνειν δυνάμενος, ἔλαβε τὴν Σάῤῥαν οὖσαν ἐνενηκοντοῦτιν. Δίκαιος ἦν καὶ εἶδε δίκαιον τὸν Ἀβραάμ, τοιαύτην δὲ καὶ τὴν Σάῤῥαν, καὶ ἠθέλησεν ἑαυτῷ σπέρμα ἀπὸ τοιαύτης ἐξαναστῆσαι.

84
Γεν. 20,5

180 α. Οὐκ ἀκολασίᾳ συνελθεῖν ἐβουλήθην τῇ γυναικί, ἀλλ' ὡς δικαίαν καὶ ἀδελφὴν δικαίου μέγιστον ἡγησάμην εἰ ἀγοίμην πρὸς γάμον, καὶ σπέρμα ἀπὸ τοιαύτης ὁσίας ἐξαναστήσω. Ὅθεν καλῶς εἶπε τό «Ἐν καθαρᾷ καρδίᾳ καὶ δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο»[3]. Καὶ ὁ Θεὸς συντίθεται τούτῳ.

---

1. Πρβλ. Γεν. 19,31-35. **2.** Πρβλ. Γεν. 20,2. **3.** Γεν. 20,5.

β. **[644]** Οὐκ ἀκολασίᾳ, φησίν, ἐβουλήθην συνελθεῖν αὐτῇ, ἀλλ' ὡς δικαίαν καὶ ἀδελφὴν δικαίου μέγιστον ἡγησάμην εἰ ἀγάγοιμι πρὸς γάμον.

85
Γεν. 24, 43-44

278 α. Ἄλλος τις εἰπὼν κατὰ Ἰουλιανοῦ τοῦ βασιλέως καὶ ἀπολογούμενος περὶ τοῦ μὴ εἶναι συμβολικὸν τὸν παῖδα τοῦ θεσπεσίου Ἀβραάμ, ὧδέ φησιν. Καὶ ποῖον προσόμοιον τῷ ζητουμένῳ πράγματι ᾔτησεν ὀφθῆναι, θαυμάσιε βασιλεῦ, ἵνα καὶ σύμβολον τοῦτο ἐκείνης καλοῖς: Τὸ ἐπικλῖναι τὴν ὑδρίαν καὶ πιεῖν αὐτὸν καὶ τὰς καμήλους αὐτοῦ, προσόμοιόν ἐστι τῇ ζητουμένῃ γυναικί, ἵνα καὶ σύμβολον τοῦτο ἐκείνης προσείπωμεν: Διὰ γὰρ τῶν ἀνομοίων αὐτῇ μᾶλλον ᾔτησεν ἐκείνην μαθεῖν. Οὔτε μὴν ὡρισμένον τι εἰώθασιν αἰτεῖν, ἀλλ' ἁπλῶς ὅμοιον· ὁ δὲ ὡρισμένον ᾔτησε καὶ ἀνόμοιον· «Καὶ ἔσται ἡ παρθένος ᾗ ἂν ἐγὼ εἴπω Ἐπίκλινόν μοι τὴν ὑδρίαν σου ἵνα πίω, καὶ εἴπῃ μοι Πίε καὶ τὰς καμήλους σου ποτιῶ ἕως ἂν παύσωνται πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου Ἰσαάκ»[1]. Τοῦτο γὰρ οὐκ ἔστι δι' ἑτέρου ἐθέλοντος συμβαλεῖν, ἀλλ' αὐτὴν ἐκείνην ἰδεῖν. Καὶ προσέτι, οἱ συμβολικοὶ περὶ οὗ ἂν πράγματος διὰ συμβόλου γνῶναι ἐθέλωσιν, βούλονται μὲν καὶ εὔχονται συμφέρον τῷ πράγματι θεάσασθαι σύμβολον, οὐ μὴν ἴσασιν ὅτι τοιοῦτον θεάσονται. Ἀλλ' ὡς τοῦτο ἢ ἐκεῖνο προσδοκῶσιν· περὶ γὰρ ἀμφιβόλου **279** πράγματος αἰτοῦσι μαθεῖν. Οὗτος δὲ εὔχεται μαθεῖν περὶ ὡρισμένου καὶ ἀναμφιβόλου πράγματος, αὐτὴν ἐκείνην αὐτῷ δειχθῆναι ἣν ὀφείλει λαβεῖν εἰς γυναῖκα τῷ Ἰσαάκ, οὐχὶ εἰ ἔχει λαβεῖν ἢ μή. Ταύτῃ γὰρ εὐχὴ ἁπλῆ εὐχῆς συμβολικῆς διαφέρει, ὅτι ὁ εὐχόμενος ἁπλῶς, αὐτὸ τὸ πρᾶγμα ζητεῖ ἀποβῆναι ὡς βούλεται ἀγαθὴν οὖσαν αἴτησιν, ὁ δὲ συμβολικῶς εὐχόμενος, ὡς ἔσχεν ἢ ἔχει ἢ ἕξει εὔχεται διὰ συμβόλου μαθεῖν, οὐδ' ἕτερον προεπιστάμενος. Ὁ δὲ οἰκέτης τοῦ Ἀβραὰμ ηὔξατο γενέσθαι φανερὰν ἣν ἔδει λαβεῖν γυναῖκα τῷ Ἰσαάκ, καὶ αὐτὸ τὸ σύμβολον αἰτήσας δειχθῆναι καὶ αὐτὴν ἐκείνην. Ὁ δὲ συμβολικὸς οὔτε τὸ σύμβολον οἶδεν ὡρισμένως, οὔτε αἰτεῖ οὔτε τὴν ἀπόβασιν τοῦ πράγματος ὡρισμένην, ἀλλὰ καὶ τὸ

1. Γεν. 24,43-44.

σύμβολον ἄδηλον, ἐπειδὴ καὶ τὸ πρᾶγμα αὐτὸ ἄδηλόν ἐστιν. Ὥστε δέδεικται μήτε τὸν οἰκέτην ὄντα συμβολικόν, ἀλλὰ πιστεύσαντα τῷ Θεῷ Ἀβραάμ, καὶ ὡς πιστὸν οἰκέτην εὐχόμενον.

β. Ὅτι διαφέρει εὐχὴ ἁπλῆ εὐχῆς συμβολικῆς, ὅτι ὁ εὐχόμενος ἁπλῶς, αὐτὸ τὸ πρᾶγμα ζητεῖ ἀποβῆναι ὡς βούλεται, ὁ δὲ συμβολικῶς εὐχόμενος, ὡς ἔσχεν ἢ ἔχει ἢ ἕξει εὔχεται διὰ συμβόλου μαθεῖν, οὐδ' ἕτερον προεπιστάμενος. Ὁ δὲ τοῦ Ἀβραὰμ παῖς ηὔξατο καὶ αὐτὸ τὸ σύμβολον δειχθῆναι καὶ αὐτὴν ἐκείνην ἣν ἔδει λαβεῖν εἰς γυναῖκα. Ὥστε οὐ συμβολικῶς ὁ οἰκέτης, ἀλλὰ τῷ Θεῷ πιστεύσας, ὡς πιστὸς ηὔξατο.

Προκόπιος: **[404]** Ἐπειδὴ δέ τινες συμβολικὸν ἔφασαν τὸν οἰκέτην Ἀβραάμ, ἰστέον ὡς ὁ συμβολικὸς ὅμοιον πρᾶγμα τῷ προκειμένῳ ζητεῖ· τὸ δὲ ποτίσαι, πῶς ἔοικε τῇ ζητουμένῃ γυναικί; Ἔτι δέ, οὐχ ὡρισμένον αἰτεῖ, ἀλλ' ἀόριστόν τε καὶ ὅμοιον, ὁ δὲ τοὐναντίον· οὐ δι' ἑτέρου γὰρ ἕτερον ἤθελε συμβαλεῖν, ἀλλ' αὐτὴν ἐκείνην ἰδεῖν. Πάλιν οἱ συμβολικοὶ οὐχ αἰτοῦσιν ἰδεῖν τόδε τι, οὐδὲ ἴσασιν ὡς ὄψονται, ἀλλ' ἁπλῶς τι τῷ παρόντι λυσιτελοῦν, ὁ δὲ ἣν ὀφείλει λαβεῖν, οὐχὶ εἰ ἔχει λαβεῖν ἢ μή. Ἄλλο γὰρ ἁπλῶς εὐχή, καὶ ἄλλο συμβολικὴ εὐχή· ἡ μὲν τόδε τι ὡς ἀγαθὸν ἐξαιτεῖ, ἡ δὲ ὡς ἔσχεν **280** ἢ ἔχει ἢ ἕξει εὔχεται διὰ συμβόλου μαθεῖν. Οὐ συμβολικῶς ἄρα, πιστεύσας δὲ τῷ Θεῷ Ἀβραάμ, ηὔξατο.

86
Γεν. 27,3

335 α. Καὶ τοῦτο τῆς θείας χάριτος ἔργον· δυναμένου γὰρ τοῦ Ἰσαὰκ καὶ δίχα τῆς τροφῆς αὐτὸν εὐλογῆσαι, ἵνα ἐν τῷ μέσῳ καρὸς γένηται τῇ Ῥεβέκκᾳ ὑποκλέψαι τῷ Ἰακὼβ τὴν εὐλογίαν καὶ μεταγαγεῖν τὸν νέον· ὅπερ οὖν καὶ πεποίηκεν.

β. Καὶ τοῦτο τῆς θείας χάριτος ἔργον, ἵν' ἐν μέσῳ καιρὸς γένηται τῇ Ῥεβέκκᾳ κλέψαι τῷ Ἰακὼβ τὴν εὐλογίαν.

87
Γεν. 27,33

355 α. Ἐπιβεβαιοῖ τὴν εὐλογίαν· καὶ μὴν ἀγανακτῆσαι ἐχρῆν καὶ τὴν εὐλογίαν ἀνακαλέσασθαι διὰ τὴν ἀπάτην. Εἰ δὲ καὶ γνοὺς ἐβεβαίωσε τὴν εὐλογίαν, οὐχ ὡς ψεύστην τὸν Ἰακὼβ ἀποστραφείς, ἀλλ' ὡς Θεοῦ οἰκονομίαν τὸ πρᾶγμα δεξάμενος, οὐδεὶς ἂν μέμψαιτο τὸν Ἰακὼβ τῆς θείας μηχανῆς.

β. Ἐπιβεβαιοῖ τὴν εὐλογίαν, οὐχ ὡς ψεύστην τὸν Ἰακὼβ ἀποστραφείς, ἀλλ' ὡς Θεοῦ οἰκονομίαν τὸ πρᾶγμα δεξάμενος.

Προκόπιος: [421/2] Πρὸς τῷ μὴ ἀγανακτεῖν καὶ τὴν εὐλογίαν ἀνακαλεῖσθαι διὰ τὴν ἀπάτην, καὶ νῦν καὶ παρακατιὼν αὐτὴν ἐβεβαίωσεν, οὐχ ὡς ψεύστην τὸν Ἰακὼβ ἀποστραφείς, ἀλλ' ὡς Θεοῦ οἰκονομίαν τὸ πρᾶγμα δεξάμενος· διὸ καὶ εἴρηται ὡς «Ἐξέστη ἔκστασιν μεγάλην»[1]. Τίς ἂν οὖν μέμψαιτο τὸν Ἰακὼβ τῆς θείας μηχανῆς;

88
Γεν. 27,46

367 Τουτέστι· βδελύττομαι σφόδρα τὰς θυγατέρας τῶν Χαναναίων.

89
Γεν. 28,18

378 «Καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον»[2] τοῦ λίθου. Ὡσανεὶ στήλην ἀναστήσας τῷ Θεῷ, ἔλαιον ἐπέχεεν εἰς θεραπείαν τοῦ τὸν τόπον ἐπέχοντος Θεοῦ, καθὼς ἡγεῖτο· ὅνπερ δὴ τρόπον εἰώθασι διαπράττεσθαι οἱ ἱερεῖς, χρίοντες τὰς τραπέζας τῶν ἐκκλησιῶν καὶ τοὺς κίονας.

90
Γεν. 28,22

381 Προστίθησι τὸ περὶ τοῦ λίθου[3] ἡ θεία Γραφή, ἵνα τὴν εὐτέλειαν δηλώσῃ μεθ' ἧς εἰς τὴν Χαῤῥὰν ἀπελήλυθεν, καὶ ὡς ἐπανήγαγε πλεῖστα διὰ τὴν θείαν κηδεμονίαν.

---

1. Γεν. 27,33. **2.** Γεν. 28,18. **3.** Πρβλ. Γεν. 28,22.

ΤΟΜΟΣ IV

91
Γεν. 30, 32-33

49 α. Οὐδὲν ἐνυπόστατον ἔλαβεν Ἰακὼβ ἐν μισθῷ, ἀλλ' ἐλπίδι τοκετοῦ παραδόξου· καὶ ὅμως τὸ οὐδὲν οὕτω μέγα γέγονεν, ὥστε λέγειν κάτω τὰ τέκνα τοῦ Λάβαν· «Εἴληφεν Ἰακὼβ πάντα τὰ πρόβατα τοῦ πατρὸς ἡμῶν»[1].

β. Οὐδὲν ἐνυπόστατον ἔλαβεν Ἰακὼβ ἐν μισθῷ, ἀλλ' ἐλπίδι τοκετοῦ παραδόξου· [ταῦτα γὰρ ἔλεγε βουλόμενος παραστῆσαι ὅτι ὁ Θεὸς αὐτῷ δίδωσι τὰ ἐν ταῖσδε ταῖς χροιαῖς γεννώμενα].

Προκόπιος: **[441/2, 445/6]** [Ἐπείσθη Λάβαν· οὐ γὰρ προσεδόκα ἀνόμοια αὐτῷ τίκτειν τὰ πρόβατα καὶ τῶν γεννώντων ἑτερόχροα], καὶ τοσαῦτα ὥστε λέγειν τὰ τέκνα τοῦ Λάβαν· «Εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν...».

Οὐδὲν δὲ ἐνυπόστατον ἔλαβεν ὁ Ἰακὼβ ἐν μισθῷ, ἀλλ' ἐλπίδα τοκετοῦ παραδόξου· καὶ ὅμως τὸ οὐδὲν οὕτω μέγα γέγονεν. ...

«Εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν». Ὁρᾷς τὸ οὐδὲν καὶ ἀνυπόστατον τῆς τοῦ δικαίου κτήσεως πόσον ἐγένετο;

92
Γεν. 30, 37-39

54 Ἡμῖν οὖν ἄρα τοῖς λογικοῖς θρέμμασι τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην καὶ ἐν ὅλῳ τῷ κόσμῳ, ῥάβδον ὥσπερ τινὰ παρατίθησιν ἑαυτὸν ὁ Χριστός. «Ῥάβδον» δὲ οὐχ ἁπλῶς, ἀλλὰ «στυρακίνην καὶ καρυΐνην καὶ ἐκ πλατάνου»[2]· φυτὸν δὲ τοῦτο τῶν εἰς ὀρθότητα μεμαρτυρημένων. Καὶ θανάτου μὲν ἡ στυρακίνη **55** σημεῖον· ἀρώμασι γὰρ τὸ τεθνηκὸς θεραπεύεται σῶμα, ἀρωμάτων δὲ ἥδιστον ὁ στύραξ· ἀπέθανε δὲ δι' ἡμᾶς ὁ Χριστὸς καὶ ἐτάφη, κατὰ τὰς Γραφάς. Καρυΐνη δὲ ἐγρηγόρσεώς τε καὶ ἀγρυπνίας ἐνεργεῖ γὰρ ἐν ἡμῖν τὰ τοιάδε φυσικῶς· ἐγήγερται δὲ ὑπὲρ ἡμῶν ὁ Χριστὸς οὐ γὰρ γέγονε κάτοχος ταῖς Ἅδου πύλαις, οὔτε μὴν εἰς ἅπαν ἑάλω

1. Γεν. 31,1. **2.** Γεν. 30,37.

τοῖς τοῦ θανάτου δεσμοῖς. Ἡ ἐκ πλατάνου δὲ πάλιν ὑπεμφαίνειν ἔοικε τὸν εἰς ὕψος τε καὶ εἰς ἄνω δρόμον, τουτέστι τὴν εἰς οὐρανοὺς ἀνάβασιν τοῦ Χριστοῦ· εὐφυὲς γὰρ ξύλον καὶ τῶν ἄγαν εὐμηκεστάτων ἡ πλάτανος· ὑψώθη δὲ παρὰ τοῦ Πατρὸς ὁ Υἱός· ἔφη γὰρ περὶ αὐτοῦ ὁ Πέτρος· «Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς»[1], καὶ τὰ ἑξῆς. [PG 69,240]

Προκόπιος: **[445/6]** Τοιοῦτος ἡμῖν τοῖς λογικοῖς γίνεται θρέμμασι τοῖς ἀνὰ πᾶσαν τὴν οἰκουμένην ὑπάρχουσι. Καὶ στυρακίνη μέν, διὰ τὸν θάνατον· ἀρώμασι γὰρ τὸ τεθνηκὸς θεραπεύεται σῶμα. Ἡ δὲ καρυΐνη ἐγρηγόρσεώς τε καὶ ἀϋπνίας σημεῖον· τοιαῦτα γὰρ ἐκ φύσεως οἶδε ποιεῖν ἡ καρύα· ...ἐγήγερται δὲ ὑπὲρ ἡμῶν ὁ Χριστός. Ἡ δὲ πλάτανος φυτὸν τῶν εἰς ὀρθότητα μεμαρτυρημένων, ἐμφαίνει τε τὸν εἰς ὕψος τε καὶ εἰς ἄνω δρόμον καὶ τὴν ἀνάληψιν· φησὶ γὰρ Πέτρος· «Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς».

93
Γεν. 31,11 καὶ 13

65 α. **[447/8]** Ὁρᾷς ὅτι «Ἄγγελον»[2] λέγει τὸν τῆς «Μεγάλης βουλῆς Ἄγγελον»[3], τὸν Υἱὸν τοῦ Θεοῦ; Οὗτος γὰρ ἦν ὁ ἐπεστηριγμένος τῇ κλί**66**μακι τῇ ὀφθείσῃ[4], τῆς ἐξ οὐρανοῦ καθόδου αὐτοῦ σύμβολον διδούς, οὗτος ὁ παλαίων αὐτῷ μετὰ ταῦτα[5], ὃν καὶ «Ἄγγελον» καλεῖ καὶ «ἄνθρωπον» ὁ Μωυσῆς ἐκεῖ, αὐτὸς δὲ ἑαυτὸν Θεόν.

β. Ὁρᾷς ὅτι «Ἄγγελον» ἐνταῦθα τὸν τῆς «Μεγάλης βουλῆς» λέγει; Οὗτος ὁ τὴν κλίμακα τῆς ἐξ οὐρανῶν καθόδου αὐτοῦ σύμβολον διδούς, αὐτὸς καὶ ὁ μετ' αὐτοῦ παλαίσας.

94
Γεν. 32, 1-2 (2-3)

83 [453/4] Τοῦτο γέγονεν ἵνα τὸν Ἡσαῦ μὴ φοβηθῇ, λογιζόμενος ὅτι «Κύριος τῶν δυνάμεων μετ' αὐτοῦ, ἀντιλήπτωρ αὐτοῦ ὁ Θεὸς Ἰακώβ»[6]. Διό φησιν· «Ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε»[7].

---

1. Πράξ. 2,33. **2.** Γεν. 31,11. **3.** Ἡσ. 9,5. **4.** Πρβλ. Γεν. 28,12-17. **5.** Πρβλ. Γεν. 32,24-40. **6.** Ψαλ. 45,8,12. **7.** Ψαλ. 58,5.

«Παρεμβολήν»[1] δὲ λέγει πάντως τὴν ὁρισθεῖσαν μετὰ Μιχαὴλ τοῦ ἀρχαγγέλου οἰκονομεῖν τὸν λαὸν Ἰσραήλ[2], ὡς ὁ Δανιὴλ φησιν.

1. Γεν. 32,2-3. **2.** Πρβλ. Δαν. (Θδτ.) 12,1.

Β'*

1
Γεν. 1,26

69 [109] Ὥσπερ εἴ τις βασιλεὺς πόλιν τινὰ μεγίστην κατασκευάσας, πολλοῖς τε αὐτὴν καὶ ποικίλοις διακοσμήσας ἔργοις, μετὰ τὴν ἁπάντων ἐκπλήρωσιν κελεύσειεν εἰκόνα αὐτοῦ γενομένην μεγίστην τινὰ καὶ εὐπρεπεστάτην ἐν μέσῳ πάσης ἑστάναι τῆς πόλεως, εἰς ἔλεγχον τοῦ τῆς πόλεως αἰτίου, ἣν ἀνάγκη καὶ ὡς εἰκόνα τοῦ πεποιηκότος τὴν πόλιν βασιλέως παρὰ τῶν κατὰ τὴν πόλιν θεραπεύεσθαι πάντων, χάριν ὁμολογούντων διὰ τοῦτο τῷ κτίστῃ τῆς πόλεως, ὅτιπερ αὐτοῖς ἐνδιαίτημα δέδωκε τοιοῦτον, οὕτω καὶ ὁ τῆς κτίσεως Δημιουργὸς πεποίηκε μὲν πάντα τὸν κόσμον, διαφόροις τε καὶ ποικίλοις καλλωπίσας τοῖς ἔργοις, τελευταῖον δὲ τὸν ἄνθρωπον ἐν τάξει παρήγαγεν εἰκόνος οἰκείας[1], ὡς ἂν ἅπασα ἡ κτίσις ἐν τῇ περὶ τοῦτον σπουδῇ τε καὶ θεραπείᾳ τὴν προσήκουσαν ἀναφέρῃ τιμὴν τῷ Θεῷ. Οὐ γὰρ ἄδηλον ὅτι πᾶσα ἡ κτίσις τῇ τοῦ ἀνθρώπου χρείᾳ φαίνεται συνδουμένη, εἴ γε ἐξ ἀέρος καὶ γῆς καὶ ὕδατος καὶ φωστήρων οὓς οὐρανὸς φέρει ἐφ' ἑαυτοῦ, ἡ τῶν καρπῶν σύστασις ἀποτελεῖται, ἡ δὲ τούτων ἀπόλαυσις πᾶσα μέν ἐστιν ἀνθρώποις ἀναγκαία, βραχεῖα δέ τις αὐτῶν τοῖς ἀλόγοις νενέμηται μοῖρα, πρὸς ὑπηρεσίαν τεταγμένοις ἀνθρώπων· αἵ τε ἀόρατοι Δυνάμεις, ὅτι πᾶσαι τοῖς θείοις βουλήμασιν ὑπηρετοῦνται πρὸς τὸ ἡμῖν λυσιτελοῦν, Παῦλος ὁ μακάριος διδάσκων λέγει· «οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;»[2]. Πρόδηλον τοίνυν ὅτι ἕνα κόσμον ἀποτελέσαι τὸ σύμπαν βουληθεὶς ὁ

---

* Κατὰ τὴν ἔκδοσιν F. Petit, Catenae Graecae in Genesim et in Exodum. II. Collectio Coisliniana in Genesim (Corpus christianorum, series graeca 15), Turnhout - Leuven 1986, σσ. 69-282 (J. - P. Migne, PG 80, 109-176. PG 66, 636-645). Τῶν ὑπ' ἀριθμ. 4, 7 καὶ 10-15 ἀποσπασμάτων ἀμφισβητεῖται ἡ γνησιότης.

1. Πρβλ. Γεν. 1,26. **2.** Ἑβρ. 1,14.

Θεός, καὶ πᾶσαν τὴν κτίσιν ἐκ διαφόρων φύσεων συστᾶσαν, θνητῶν τε καὶ ἀθανάτων, λογικῶν τε καὶ ἀλόγων, ὁρατῶν τε καὶ ἀοράτων, εἰς ἕν τι συναγαγεῖν ἐθελήσας, σύνδεσμον ἁπάντων τὸν ἄνθρωπον κατεσκεύασεν, οὕτω πάντα πρὸς **70** αὐτὸν συναγαγὼν τῇ χρείᾳ, ὥστε συνῆφθαί τε τὴν σύμπασαν κτίσιν ἐν αὐτῷ, καὶ φιλίας αὐτὸν ἐνέχυρον ἐναργὲς εἶναι τῇ πάσῃ. Δέδωκε γοῦν αὐτῷ ταύτης ἕνεκα τῆς αἰτίας καὶ ψυχὴν καὶ σῶμα, τὸ μὲν ὁρατόν, τοῖς ὁρατοῖς οἰκεῖον — ἐκ γῆς τε καὶ ἀέρος καὶ ὕδατος καὶ πυρὸς συνεστώς, καὶ τοῖς ἐκ τούτων ἀποτελουμένοις τρεφόμενον καρποῖς, τὴν δὲ νοεράν τε καὶ ἀθάνατον **[112]** καὶ λογικήν, ταῖς ἀοράτοις καὶ λογικαῖς ἐοικυῖαν οὐσίαις, ἵνα μὴ τῇ χρείᾳ μόνον ἐπ' αὐτὸν ἡ κτίσις συνάπτηται, ἀλλὰ γὰρ καὶ τῇ τῆς φύσεως οἰκειότητι, μᾶλλον δὲ ἵνα ἐκ τῆς κατὰ τὴν φύσιν οἰκειότητος, καὶ πρὸς τὴν χρείαν τὴν αὐτοῦ τὰ πάντα συνάπτηται, ἡδέως ὑπὲρ τοῦ συγγενοῦς καὶ οἰκείου πονοῦντά τε καὶ τὴν οἰκείαν εἰσφέροντα χρείαν.

2
Γεν. 1,26

71 [112] Σφόδρα δέ μοι θαυμάζειν ἐπελήλυθε τῶν ταυτὶ μὲν συνιδεῖν οὐχ οἵων τε γεγονότων, «κατ' εἰκόνα» Θεοῦ δὲ τὸν ἄνθρωπον γεγενῆσθαι πῇ μὲν κατὰ τὸ ἀρχικὸν εἰπόντων, πῇ δὲ κατὰ τὸ λογικόν, πῇ δὲ κατὰ τὸ νοερόν, γέλωτος μεστὰ σαφῶς ἀποφθεγγομένων, δέον αὐτοὺς συνιδεῖν ὅτι εἰκὼν Θεοῦ μόνος ὁ ἄνθρωπος λέγεται γεγενῆσθαι. Ἐν μὲν γὰρ τῇ ποιήσει φησίν· «ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν»[1], ἐπὶ δὲ τοῦ Νῶε· «ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησε τὸν ἄνθρωπον»[2], ὁ δὲ μακάριος Παῦλος· «ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων»[3]. Εἰ δὲ μόνος ὁ ἄνθρωπος ἐν τοῖς γεγονόσιν εἰκών, πρόδηλον ὡς τούτου μόνου τοῦτο προσειρημένου, ἰδίαν τινὰ τῆς προσηγορίας προσῆκεν εἶναι τὴν αἰτίαν. Ἀλλ' οὔτε τὸ νοερὸν μόνον οὔτε τὸ λογικόν· τοιαύτας γὰρ εἶναι καὶ τὰς ἀοράτους φαμὲν Δυνάμεις. Οὐ μὴν οὐδὲ τὸ ἀρχικόν· καὶ γὰρ καὶ τοῦτο ταῖς

---

1. Γεν. 1,26. **2.** Γεν. 9,6. **3.** Α' Κορ. 11,7.

ἀοράτοις προσὸν ὁρῶμεν Δυνάμεσιν, ὡς ὁ μακάριος Παῦλός ποτε μὲν λέγει· «ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε Θρόνοι εἴτε Κυριότητες εἴτε Ἀρχαὶ εἴτε Ἐξουσίαι»[1], ποτὲ δέ· «ἵνα γνωρισθῇ νῦν ταῖς Ἀρχαῖς καὶ ταῖς Ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις»[2]. Ὅθεν καὶ τὰς ἐναντίας οὕτω καλεῖ δυνάμεις, ὡς ἂν ἐξ ἐκείνων ἐκπεπτωκυίας τῶν ταγμάτων· «οὐκ ἔστι γὰρ ἡμῖν», φησίν, «ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους»[3]. Οὕτω καὶ Ἄγγελοι καλοῦνται· **72** Καὶ Μιχαήλ, φησίν, ὁ ἄρχων ὑμῶν, καὶ ὁ ἄρχων Περσίδος[4]. Εἴρηται δὲ καὶ περὶ τῶν φωστήρων· «τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός»[5]· ὅπερ Δαβὶδ ἐξουσίαν ἐκάλεσεν εἰπών· «τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός»[6]. Πῶς οὖν οἷόν τε ἦν κατά τι τούτων λέγεσθαι εἰκόνα τὸν ἄνθρωπον, ὧν δὴ μέτεστι πολλοῖς τῶν γεγονότων, μόνου γε αὐτοῦ «κατ' εἰκόνα» γεγενῆσθαι λεγομένου Θεοῦ; Ἀφ' οὗ δῆλον ἡμῖν ὅτι **[113]** μίαν τινὰ προσῆκε τὴν αἰτίαν εἶναι καθ' ἣν οὗτος οὕτω προσηγόρευται μόνος, ἧς οὐδὲν μετέχει τῶν γεγονότων, ἅτε μηδὲ τῆς προσηγορίας μετέχον ταύτης· ἔστι δὲ ἣν ἔφθην εἰπών.

3
Γεν. 2,2-3

80 [117] [636] «Καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ ἃ ἐποίησεν, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ»[7], καὶ τὰ ἑξῆς, δεικνὺς ὅτι ἐπὶ μὲν τῆς ἕκτης συμπεπλήρωκε πάντα, ἅτε μηδὲν αὐτοῖς προστιθέναι μέλλων καινόν, ἐπεὶ μηδὲ λείπειν τι αὐτοῖς ἡγεῖτο· ἐπαύσατο δὲ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τοῦ ποιεῖν, τούτου γε ἕνεκεν τὴν ἡμέραν ταύτην προστεθεικὼς ἄπρακτον οὖσαν, καὶ ἐν ᾗ καθάπαξ πεποίηκεν οὐδέν, ὡς ἂν τῇ κατὰ τὴν ἡμέραν ἀργίᾳ δηλώσειεν ὅτι πάντα ἔχει πέρας αὐτῷ. Ὁ γὰρ καὶ

---

1. Κολ. 1,16. **2.** Ἐφ. 3,10. **3.** Ἐφ. 6,12. **4.** Πρβλ. Δαν. (Θδτ.) 10,13,21. **5.** Γεν. 1,16. **6.** Ψαλ. 135,8-9. **7.** Γεν. 2,2.

τῇ πρώτῃ καὶ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ καὶ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἀεί τι καινὸν πεποιηκώς, ὃ λείπειν ἡγεῖτο τῇ κτίσει, εὔδηλον ὅτι διὰ τοῦτο ἐπὶ τῆς ἑβδόμης τοῦ [120] ποιεῖν ἀπεπαύσατο, ὡς ἂν τῇ ἀργίᾳ τῇ ἐν αὐτῇ δείξειε τὸ πέρας εἰληφέναι τὴν κτίσιν. Ὅθεν καὶ ἐν ἑπτὰ ἡμέραις τὸν πάντα κύκλον τῶν ἡμερῶν περιέγραψεν, δυνάμενος καὶ ἐν ταῖς ἓξ τοῦτο ποιῆσαι ἐν αἷς συνεπλήρωσε τὴν κτίσιν, ἵνα αἱ μὲν ἓξ δήλωσις ὦσι τῶν γεγονότων, ἡ δὲ ἑβδόμη τοῦ πάντα εἰληφέναι πέρας καὶ μηδὲν αὐτοῖς λείπειν ἔτι. Εἶτα ὡς ἂν **81** μὴ ἄχρηστος εἶναί τις καὶ περιττὴ νομίζοιτο ἡ ἑβδόμη, οὐδὲν ἔργον Θεοῦ δεξαμένη, καὶ ὡς ἂν μὴ βδελυκτή τις ὑπολαμβάνοιτο τοῖς πᾶσιν εἶναι καὶ οὐκ ἠξιωμένη θείας τινὸς ἐργασίας, εὐκόλως ἄν τινος ὑποπτεύσαντος ὅτι ὡς ἐν ἀνεπιτηδείᾳ τάχα ἡμέρᾳ οὐδὲ ποιῆσαί τι εἵλετο ἐν αὐτῇ — καθὼς ἔθος ἐνίοις τὰς φαυλοτέρας ἀπράκτους νομίζειν —, ὡς ἂν μή τι τοιοῦτο καὶ περὶ τῆς ἑβδόμης ὑπολαμβάνοιτο, ἐπήγαγεν· «καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν»[1]. Ἔδειξε γὰρ ὅτι οὐκ ἄχρηστον τὴν ἡμέραν πρὸς τὸ ποιεῖν ἡγήσατο, ἀλλ' ἁρμόδιον ἔθετο εἰς ἀνάπαυσιν. «Εὐλόγησεν» οὖν καὶ αὐτήν, ἅτε τὰς μὲν λοιπὰς τῷ τι ποιῆσαι ἐν αὐταῖς τιμήσας, ταύτην δὲ τῷ ἔλεγχον εἶναι τοῦ πεπληρῶσθαι τὴν κτίσιν. Διὰ τοῦτο καὶ τό «ἡγίασεν αὐτήν» εἶπεν ἀντὶ τοῦ ἀφώρισε, πρὸς τοῦτο, ὡς τῇ ἐπ' αὐτῆς ἀργίᾳ δεικνὺς τὸ τῆς κτίσεως πέρας.

4
Γεν. 2,5-6

82 [120] Τοῦτο εἰπεῖν ἠβουλήθη, ὅτι ἀδιακόσμητος γέγονεν ἡ γῆ[2]. Οὔτε γὰρ ἐκδέδοτό τι ἐξ αὐτῆς ὧν ὕστερον διέταξε γίνεσθαι ὁ Θεός, ἐπεὶ μήτε ὁ ἐργαζόμενος ἄνθρωπος ἦν, μήτε ὑετὸς κατενήνεκτο[3], ἅτε μήπω τῆς διατάξεως ταύτης λαβούσης ἀρχήν. Ὅθεν καὶ τὴν αἰτίαν λέγων ἐπάγει· «πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς»[4], καὶ τὰ ἑξῆς. Λέγει μὲν [121] γὰρ ὅτι ἐκαλύπτετο πᾶσα ὑπὸ τῶν ὑδάτων[5]· εἴρηκε δὲ αὐτὸ οὕτω πως, ὅτι ὡς ἂν ἐξ αὐτῆς τῆς γῆς βλύζον-

---

1. Γεν. 2,3. **2.** Πρβλ. Γεν. 1,2. **3.** Πρβλ. Γεν. 2,5. **4.** Γεν. 2,6. **5.** Πρβλ. Γεν. 1,9.

τά τε καὶ πηγάζοντα τὰ ὕδατα, καὶ ἐξ ἁπάσης αὐτῆς φερόμενα, οὕτω πᾶσαν αὐτὴν συνεκάλυπτον.

5
Γεν. 3,8-9

99 [125] [640] Ἐπειδὴ ῥάπτοντες ἔτι τὰ φύλλα ἤκουσαν τῆς φωνῆς τοῦ Θεοῦ περιπατοῦντος, ὑπὸ τὸ ξύλον ἐκρύβησαν, οὐκ ἄλλο δηλονότι ἀλλ' ἢ οὗπερ ἔῤῥαπτον τὰ φύλλα[1]. Ἀλλὰ τοῦτό γε ἦν ἐφ' ᾧ τὴν ἐντολὴν εἰλήφεσαν[2], ὡς ὁ Προφήτης φησίν. «Ἐκρύβησαν» γάρ φησιν, «ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου»[3]. Ἀπ' αὐτοῦ δὲ καὶ βεβρωκότες, τὰ φύλλα ἔῤῥαπτον διὰ τὴν γενομένην αὐτοῖς αἰσχύνην ἐπὶ τῇ γυμνώσει[4]. Ταῦτα δὲ ἦν **100** «φύλλα συκῆς»· ἀναντιῤῥήτως ἄρα συκῆ τὸ δένδρον ἦν ἐφ' ᾧπερ εἰλήφεσαν τὴν ἐντολήν[5]. Ἀλλ' οὐ προσίενται τοῦτό τινες, δι' ἁπλῆν εὐήθειαν ἐμοὶ δοκεῖν οἰόμενοι χρῆναι καινόν τι εἶναι τὸ ξύλον, καὶ οὐ λογιζόμενοι ὅτι μὴ τῇ ποιότητι τοῦ ξύλου μηδὲ τῇ καινότητι τῆς βρώσεως τὰ ἁμαρτήματα κρίνεται, ἀλλὰ τῇ δόσει τῆς ἐντολῆς· ἣν ἐφ' ὅτου δήποτε παραβῆναι ἴσην ἔχει τὴν μέμψιν.

6
Γεν. 3,7

115 [637] Ἀνοήτως τινὲς ἔφασαν πεπληρῶσθαι τὸ παρὰ τοῦ διαβόλου πρὸς τὴν γυναῖκα ῥηθέν, ἐπειδὴ ὁ μὲν ἔφη· «διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν»[6], ὁ Προφήτης δὲ ἅμα τῷ φαγεῖν ἔφη ὅτι «διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο καὶ ἔγνωσαν ὅτι γυμνοί εἰσιν»[7], δέον συνιδεῖν ὅτι πολὺ τῶν εἰρημένων τὸ διάφορον. Ὁ μὲν γὰρ διάβολος τὴν διάνοιξιν τῶν ὀφθαλμῶν οὕτω φησίν, ὡς ἂν κατ' ἔννοιαν ὀξυτέρων ἐσομένων, καὶ δυνησομένων δίκην **[640]** θεῶν ὁρᾶν τε ταῖς ἐννοίαις καὶ διακρίνειν ἐκ τοῦ πονηροῦ τὸ καλόν· ὁ Προφήτης δὲ οὐ ταύτην εἶπε τὴν διάνοιξιν, ἀλλὰ καθ' ἣν εἶδόν τε καὶ ᾔσθοντο τῆς

---

1. Πρβλ. Γεν. 3,7-8. **2.** Πρβλ. Γεν. 2,17. **3.** Γεν. 3,8. **4.** Πρβλ. Γεν. 3,6-7. **5.** Πρβλ. Γεν. 2,17. **6.** Γεν. 3,5. **7.** Γεν. 3,7.

οἰκείας γυμνώσεως, πρότερον μὲν οὐδὲν ἐπ' αὐτῇ πάσχοντες οὐδὲ αἰσχυνόμενοι, ὕστερον δὲ τοιαύτην τινὰ ἐπὶ τῇ γυμνώσει τὴν αἴσθησιν λαβόντες, ὡς καὶ πρὸς μόνην αἰσχύνεσθαι τὴν ἐν τῇ γυμνώσει τοῦ σώματος θεωρίαν. Οὐ γὰρ ἄδηλον ὡς ὁ λογισμός ἐστι τῆς ψυχῆς, ὁ **116** τὴν ἐπὶ τῇ θεωρίᾳ διάθεσιν νῦν μὲν τοιάνδε, αὖθις δὲ τοιάνδε ποιῶν. Τὰ γοῦν βρέφη οὐκ αἰσχύνεται ἐπὶ τῇ γυμνώσει, οὔτε μὴν οἱ ἐν βαλανείῳ, οὐ τῷ μὴ βλέπειν αὐτήν, ἀλλὰ τῷ μηδὲν φαῦλον ἀπὸ τῆς θεωρίας ἐπὶ τῆς ἐννοίας εἰσδέχεσθαι. Οἱ τοίνυν περὶ τὸν Ἀδὰμ ἄρτι μὲν γεγονότες, ἁμαρτόντες δὲ οὐδέν, καὶ οὔτε φαῦλον εἶναί τι μαθόντες οὔτε ἄλλο οὐδὲν τῆς οἰκείας φύσεως, αἰσχρὸν οὐχ ἡγοῦντο τὴν γύμνωσιν. Ἐπειδὴ δὲ ἥμαρτον τἀναντία τοῖς τοῦ Θεοῦ διαπραξάμενοι νόμοις, ἐνετέθη μὲν αὐτοῖς ὁ λογισμὸς τῆς αἰσχύνης ὑπὸ Θεοῦ εἰς τὴν τῆς ἁμαρτίας βοήθειαν, αὐτάρκης ὢν ἐκκόπτειν αὐτῆς τὴν ὁρμήν· πρώτην δὲ τῆς αἰσχύνης τὴν ἔννοιαν ἀναγκαίως ἐπὶ τοῖς παιδογόνοις ἔλαβον ὀργάνοις, ἵνα πόῤῥωθεν τοῖς ἀνθρώποις ἡ αἰδὼς ἐκκόπτῃ τὴν ἀκόλαστον μίξιν.

7
Γεν. 2,16-17. 3,1-7

118 [640] Ἐπειδή τινων ἀκήκοα πυνθανομένων· εἰ προῄδει ὁ Θεὸς ὅτι παρακούσει ὁ Ἀδάμ, τίνος ἕνεκεν τῇ δόσει τῆς ἐντολῆς παρέσχε τῇ παρακοῇ πρόφασιν; Τοσοῦτον ἐρῶ, ὅτι μάλα εἰδὼς ὁ Θεὸς συμφέρουσαν ἀνθρώποις τὴν θνητότητα — μένοντες γὰρ ἀθάνατοι, πταίσουσιν ἀθάνατα —, καὶ ὅτι λυσιτελεῖ τοῖς τοιούτοις, θανάτῳ λυομένου τοῦ σώματος, συγκαταλυθῆναι καὶ τὸ τῆς ἁμαρτίας, οὐκ εὐθὺς ἔδωκε τὸ συμφέρον, ἵνα μὴ βλασφημῆται ὡς μὴ δεδωκὼς ἐξ ἀρχῆς τὴν ἀθανασίαν· ἀλλὰ πρότερον δίδωσι τὴν ἐντολήν, ἧς οὐκ ἀνεξομένους ᾔδει, ἵνα δείξῃ ὅτι εἰ καὶ προτεινομένης αὐτοῖς ἀθανασίας ἀπὸ τῆς ὑπακοῆς, καὶ θανάτου ἀπειλουμένου διὰ τὴν παρακοήν[1], τοσοῦτον ἠπίστησαν τῷ ποιητῇ καὶ εὐεργέτῃ, ὡς ἐλπίσαι εἰ παρακούσειαν, οὐ μόνον τὴν ἀθανασίαν ἕξειν ἀλλὰ καὶ τὸ τῆς θεότητος ἀξίωμα προσλήψεσθαι[2]. Εἰ καὶ ἡ σὰρξ

---

1. Πρβλ. Γεν. 2,16-17. 3,2-3. **2.** Πρβλ. Γεν. 3,4-5.

αὐτοῖς εἰλήφει τὴν ἀθανασίαν, πῶς οὐ μᾶλλον ἂν ἐπείσθησαν εἶναι θεοὶ διὰ τῆς παρακοῆς; Οἷς γὰρ οὐκ ἤρκεσεν ἀπειλὴ θανάτου εἰς τὴν φυλακὴν τῆς ἐντολῆς, τὸ τῆς ἀθανασίας βέβαιον πάντως ἂν ἀδεὲς εἰς τὸ πταίειν ἦν καὶ διηνεκές, τῷ τῆς ἀθανασίας **[641]** ἀσφαλεῖ τεθαῤῥηκόσιν. Πρῶτον οὖν δείκνυσι τῇ δόσει τῆς ἐντολῆς **119** καὶ διὰ τῆς παρακοῆς τῶν περὶ τὸν Ἀδάμ, ὅτι συμφέρει ἡ θνητότης, καὶ τότε ταύτην δίδωσιν, ὁμοῦ καὶ πείθων ἀνθρώπους καὶ τῶν συμφερόντων οὐκ ἀφιστάμενος. Ὅτι γὰρ τῷ θνητῷ βίῳ τὸν ἄνθρωπον ηὐτρέπιζεν, αὐτὸ τὸ σχῆμα τοῦ ἄῤῥενος καὶ τοῦ θήλεος δείκνυσιν, ἐν τῇ δυνάμει τὴν παιδοποιΐαν εὐθὺς καὶ ἐκ πρώτης ἐπιδεικνύμενον[1]. Ὥστε ἡ μὲν πλάσις ἡτοιμάσθη τῷ θνητῷ βίῳ· ἡ δὲ τῆς ἐντολῆς δόσις, καὶ τὸ αὐτεξούσιον προεγύμνασεν, καὶ ἔδωκε τῇ γνώμῃ τῶν αὐθαιρέτων ἀγώνων τὴν πρόφασιν, καὶ τὸ τῆς θνητότητος συμφέρον ἔδειξεν.

8
Γεν. 3,21

123 [140] [641] Ἐζήτηται τί ἐστι «χιτῶνας δερματίνους»[2]. Ἀλλ' εἰ μὲν ζῴων σφαγέντων, ἐξ αὐτῶν ἐγένοντο τὰ ἐνδύματα, εὔδηλον ὅτι ἐπέλιπε τὸ γένος τῶν σφαγέντων, ἄρτι μὲν τοῦ Θεοῦ ἄῤῥεν τε καὶ θῆλυ πεποιηκότος[3], οὔπω δὲ οὐδενὸς τεταγμένου, πρὸς τῷ κἀκεῖνο μὴ ἐνδέχεσθαι νομίζειν ὅτι ζῶα σφάττεσθαι ἐκέλευσεν ὁ Θεός, ὅτε μήπω κρεωφαγία ἦν ἐπιτετραμμένη τοῖς ἀνθρώποις. Τοὺς μὴ ὄντας δὲ χιτῶνας ἔτι πλέον ἀπρεπὲς νομίζειν ὅτι παρήγαγεν ὁ Θεός, ὃς ἐν τῇ τοῦ ἀνθρώπου ποιήσει τοῦ ποιεῖν τι μὴ ὂν ἀπεπαύσατο, ὡς ἐν τούτῳ τοῦ κόσμου παντὸς συμπεράνας τὴν ποίησιν[4]· εὔδηλον οὖν ὡς οὐδ' ἂν «χιτῶνας δερματίνους» ἐκ τοῦ μὴ ὄντος παρήγαγεν. Ἀλλὰ γὰρ ἠγνόησαν, ὡς ἔοικεν, οἱ περὶ **124** τούτων ζητοῦντες, ὅτι δέρματα οὐ μόνον τὰ ἐκ τῶν ζῴων ἀφαιρούμενα λέγεται, ἀλλὰ καὶ τὰ ἐκ τῶν δένδρων, ἃ καὶ φλοιοὺς ὀνομάζειν ἔθος τοῖς πολλοῖς. Ἐκ δένδρων τοίνυν, ἐπιτηδείους πως φλοιοὺς ἐχόντων εἰς ἐνδυμάτων κατασκευήν, ἐποίησαν οἱ

---

1. Πρβλ. Γεν. 4,1-2. **2.** Γεν. 3,21. **3.** Πρβλ. Γεν. 1,27. **4.** Πρβλ. Γεν. 2,1-3.

περὶ τὸν Ἀδὰμ τὰ ἐνδύματα, τοῦ Θεοῦ κατ' ἔννοιαν αὐτοῖς ὑποθεμένου πῶς χρὴ τοῦτο ποιῆσαι.

9
Γεν. 3,24

128 [141] [641] Οὐκ ἀοράτους τινὰς δυνάμεις λέγει «τὰ Χερουβείμ»[1] ὥς τινες οἴονται, ἐπεὶ μηδὲ συνετέλει τι ἀόρατος φύσις ἐκεῖ, αἰσθητῆς ὄψεως ὀφειλούσης εἶναι τῆς τὸν Ἀδὰμ παιδευούσης. Οὔτε οὖν ἡ «φλογίνη ῥομφαία» φύσις ἦν πυρὸς ἀλλ' ὄψις τοιαύτη· οὔτε «τὰ Χερουβείμ» ζῷα ἀλλ' ὄψις τοιαύτη. Ἐπεὶ καὶ Ἰεζεκιὴλ τετραπρόσωπα τὰ Χερουβεὶμ ὁρᾷ[2]· τετραπρόσωπος δὲ ἀόρατος φύσις οὐκ ἔστιν. Ἀλλὰ Χερουβεὶμ καλεῖ πᾶν τὸ δυνατόν. Οὕτω λέγει· «ὁ **[144]** καθήμενος ἐπὶ τῶν Χερουβείμ»[3], ἀντὶ τοῦ ὁ δυνατῶς βασιλεύων, καί «ἐπέβη ἐπὶ Χερουβεὶμ καὶ ἐπετάσθη»[4], ἀντὶ τοῦ μετὰ πολλῆς παρεγένετο τῆς δυνάμεως. Τὸ οὖν «ἔταξε τὰ Χερουβείμ», ἵνα εἴπῃ δυνατήν τινα καὶ φοβερὰν ὄψιν καὶ μορφὴν ὡσανεί τινων ζῴων ἐπέστησε τῇ εἰσόδῳ τοῦ Παραδείσου, ὥστε ἀπείργειν τὸν Ἀδάμ.

10
Γεν. 4,15

132 [143-144] Ποῖα τά «ἑπτὰ ἐκδικούμενα»[5], τουτέστι διὰ τί ἑπτὰ ἐκδικήσεις ζητητέον, καὶ διὰ τί ἑπτὰ ὑπὲρ ἑνὸς φόνου; Ὅτι καὶ τὰ ἁμαρτήματα τοσαῦτα ἦν. [α] Τὰ ἀπὸ γῆς προσάγων τῷ Θεῷ[6], ὕβρισεν ὅτι μὴ διέκρινεν, δέον τὰ ἐκλεκτὰ προσαγαγεῖν. [β] Ἐλυπήθη ὅτι οὕτως ὑβρίσας τὸν Θεόν, μὴ ἐδέχθη[7]. [γ] Ἡσυχάσαι προσταχθεὶς παρ' αὐτοῦ τοῦ Θεοῦ[8], οὐκ ἠρέμησεν. [δ] Ἐβάσκηνε καὶ τῷ ἀδελφῷ. [ε] Ὡς ἀδελφὸς πιστευθεὶς ἐξαγαγὼν τὸν Ἄβελ εἰς τὸ πεδίον ἀνεῖλεν[9]. [ϛ] Ψεύδεται τῷ Θεῷ ἐρωτώμενος «ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου;»[10]. [ζ] Ἐλύπησε τοὺς γε-

1. Γεν. 3,24. **2.** Πρβλ. Ἰεζ. 10,20-21. **3.** Δ' Βασ. 19,15. Ψαλ. 79,2. 98,1. Ἡσ. 37,16. **4.** Ψαλ. 17,11. **5.** Γεν. 4,15. **6.** Πρβλ. Γεν. 4,3. **7.** Πρβλ. Γεν. 4,5. **8.** Πρβλ. Γεν. 4,7. **9.** Πρβλ. Γεν. 4,8. **10.** Γεν. 4,9.

γεννηκότας, ἀνελὼν τὸν ἀδελφόν. Εἰκότως ἄρα τῶν ἑπτὰ ἁμαρτημάτων τοσαύτας τιμωρίας ἀντιλαμβάνει. Πρώτην, τὸ τῆς ἐπικαταράτου γῆς ἐπικατάρατον γενέσθαι[1]· ἡ μὲν γὰρ διὰ τὸν ἄνθρωπον, ὁ δὲ δι' ἑαυτὸν ἐδέξατο τὴν κατάραν. Δευτέραν, τὸ μὴ τῶν πόνων καταξίαν τὴν τῶν ἀπὸ γῆς φορὰν δέχεσθαι· τὸ μὲν γάρ «ἐργᾷ τὴν γῆν»[2] καὶ τῷ πατρὶ δέδοτο, τὸ δέ «οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς»[3] τῷ Κάϊν. Τρίτην, τό «στένειν». Τετάρτην, τό «τρέμειν», ἢ κατὰ τοὺς ἄλλους ἑρμηνευτὰς ἀκαταστατεῖν, τουτέστι πλανᾶσθαι «ἐπὶ τῆς γῆς»[4]. Πέμπτην, ἁπάντων **133** χαλεπωτέραν, τὸ τῆς τοῦ Θεοῦ οἰκειώσεως ἀλλοτριωθῆναι, ὡς αὐτὸς ὁ Κάϊν «εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι»[5]. Ἕκτην, τὸ ταύτας τὰς τιμωρίας ὑπέχειν ἕως μακροῦ γήρως, ὧν ἂν ηὔξατο πολλάκις θανάτῳ ἀπαλλαγῆναι. Ἑβδόμην, τό «σημεῖον» ὅπερ εἴληφεν, ὥστε μὴ ἀναιρεῖσθαι ὑπὸ τῶν ἀνθρώπων[6]· ἦν δὲ καὶ τοῦτο οὐκ ἀνεκτὴ κόλασις γνωριζομένη δι' αὐτοῦ, καὶ ὅτι οἷα μαστιγίας δοῦλος ἐπὶ κακοῖς ἁλούς, τὰ στίγματα περιέφερεν ἐν πάσῃ τῇ γῇ.

11
Γεν. 11,26. 11,32. 12,4

168 [165-166] Εἰρηκὼς Μωσῆς· «καὶ ἔζησε Θάῤῥα ἔτη ἑβδομήκοντα καὶ ἐγέννησε τὸν Ἅβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν»[7], εἶτα μετ' ὀλίγα γεγραφώς· «καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάῤῥα ἔτη διακόσια πέντε, καὶ ἀπέθανε Θάῤῥα ἐν Χαῤῥάν»[8], μετὰ βραχέα φησίν· «Ἅβραμ δὲ ἦν ἐτῶν ἑβδομήκοντα πέντε ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν»[9]. Καὶ πῶς, εἰ ὁ Θάῤῥα ἑβδομηκονταετὴς γεγονὼς ἔσχε τὸν Ἅβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν, **169** τῷ διακοσιοστῷ δὲ καὶ πέμπτῳ ἀπέθανεν, μετὰ δὲ τὸν θάνατον αὐτοῦ ἐξῆλθεν ἐκ Χαῤῥὰν ὁ Ἅβραμ ἑβδομήκοντα καὶ πέντε ἐτῶν, δέον αὐτὸν ἐκ τῆς ἀκολουθίας ἑκατὸν τριάκοντα πέντε εἶναι ἐτῶν; Ζήτημα τὸ ῥηθὲν τοῖς παρέργως ἀναγινώσκουσιν. Νοεῖται γὰρ οὕτω

---

1. Πρβλ. Γεν. 4,11. 3,17. **2.** Γεν. 4,12. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Γεν. 4,12. **5.** Γεν. 4,14. **6.** Πρβλ. Γεν. 4,15. **7.** Γεν. 11,26. **8.** Γεν. 11,32. **9.** Γεν. 12,4.

τὸ Μωσαϊκὸν ῥητόν· ἑβδομηκονταετὴς γεγονὼς ἐπαιδοποίησεν ὁ Θάῤῥα· γεννᾷ δὲ οὐ τρίδυμα, κἂν ὁ Μωσῆς κοινῇ τῶν τριῶν μνημονεύῃ, τὴν ποσότητα δεικνύς. Καὶ γὰρ τὸν Νῶε πεντακοσιοστῷ ἔτει φησὶ γεγεννηκέναι τρεῖς υἱούς[1]· οὐδὲ τούτους τριδύμους, ἀλλ' ὁμοῦ τίθησιν ἐν τῇ ἱστορίᾳ τοὺς κατὰ διαφόρους χρόνους αὐτῷ τεχθέντας. Ἴσμεν δὲ ὅτι πολλοῖς ἀρτιγάμοις μὲν ὁ πρωτότοκος τίκτεται, γηρῶσι δὲ ὁ νεώτατος· καὶ ἔσθ' ὅτε τάχιστα τὴν ἀρχήν τινες παιδοποιήσαντες, βραδύτατα δεύτερον ἐσχήκασι τέκνον. Ἀμέλει καὶ ὁ Ἀῤῥὰν οὕτω πρεσβύτερος τοῦ Ναχώρ, ὡς τὴν Σάῤῥαν γενέσθαι τῷ [167-168] ἀδελφῷ αὐτοῦ γυναῖκα[2]. Καὶ μή τις οἰέσθω τότε πολὺ νεωτέρας εἶναι τῶν ἀνδρῶν τὰς γυναῖκας· ἄκουε γὰρ τοῦ Μωσέως λέγοντος· «καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον καὶ ἐγέλασεν, καὶ εἶπεν ἐν τῇ διανοίᾳ λέγων· εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ ἡ Σάῤῥα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται;»[3]. Εὑρίσκεται τοίνυν Ἀῤῥάν, οὗ μέμνηται τελευταίου Μωσῆς ὅτε τοὺς τεχθέντας τῷ Θάῤῥα ἠρίθμει, τοσοῦτον τοῦ Ναχὼρ μείζων, ὡς τὴν θυγατέρα αὐτοῦ γενέσθαι **170** γυναῖκα τῷ Ναχώρ[4]. Εἰ δὲ τοῦ μείζονος οὐ μέμνηται πρότερον, δῆλον ὅτι τὸν Ἄβραμ οἷα τελειότατον, πρῶτον τίθησιν, ἐπειδὴ καὶ δι' αὐτὸν αὐτῷ τὸ τῆς ἱστορίας ἀναγκαιότερον ἦν, τὸν δὲ Ναχὼρ μέσον, καὶ τὴν ἡλικίαν μέσον ὄντα. Ἔνθα μὲν γὰρ βούλεται δεῖξαι τίς ὁ πρωτότοκος, τῇ τάξει τῶν ἡλικιῶν ἐξ ἀνάγκης ἀκολουθεῖ· ὅπου δὲ μὴ ἔστι τούτου χρεία, τὸν τιμιώτερον προτίθησι κἂν τελευταῖος ᾖ. Ὡς δὲ λόγος, καὶ ἡ Σάῤῥα θυγάτηρ ἑνὸς τῶν ἀδελφῶν τοῦ Ἀβραὰμ ἐτύγχανεν, ὡς αὐτός φησιν· «καὶ γὰρ ἀληθῶς ἀδελφή μού ἐστιν, ἀλλ' ἐκ πατρός, οὐκ ἐκ μητρός»[5], ὥς που καὶ τὸν Λὼτ υἱὸν ὄντα τοῦ ἀδελφοῦ, ἀδελφὸν ἀποκαλεῖ[6]. Εἰκὸς δὲ Ἀῤῥὰν τοῦ ἀδελφοῦ κατοιχομένου, τοὺς ἀδελφοὺς τὰς θυγατέρας ἀγαγέσθαι, οὔτε τοῦ Θάῤῥα οὔτε αὐτῶν ἀνεχομένων καταλιπεῖν αὐτὰς ἐν τῇ Χαλδαίᾳ, ὅτε εἰς τὴν Χαῤῥὰν ἐξῄεσαν[7].

---

1. Πρβλ. Γεν. 5,32. **2.** Πρβλ. Γεν. 11,26-29. **3.** Γεν. 17,17. **4.** Πρβλ. Γεν. 11,29. **5.** Γεν. 20,12. **6.** Πρβλ. Γεν. 13,8. 14,14. **7.** Πρβλ. Γεν. 11,28-31.

12
Γεν. 15,9-12

183 **[175-176]** Ἐδηλοῦντο δὲ ἄρα διὰ μὲν τῶν εὐτρεπισθέντων ζώων αἱ γενεαί, διὰ δὲ τοῦ τριετοῦς αὐτῶν τὸ νεάζον ἔτι τοῦ λαοῦ καὶ ἐν ἀκμῇ καθεστώς. Καὶ ἡ μὲν δάμαλις πρώτη ληφθεῖσα[1], τὴν πρώτην εἰκότως ἐσήμαινε γενεάν· ὡς γὰρ ἡ δάμαλις ἀδάμαστός ἐστιν, ἄπειρος οὖσα ζυγοῦ, οὕτω καὶ ἡ τοῦ εἰς Αἴγυπτον κατελθόντος λαοῦ πρώτη φορὰ τῆς Αἰγυπτιακῆς σκληραγωγίας ἐλευθέρα διεφυλάχθη. Ἡ δὲ αἲξ δευτέρα παρελήφθη μετὰ τὴν δάμαλιν, διὰ τὸ τὴν δευτέραν γενεὰν προαινίττεσθαι· ὥσπερ γὰρ ἡ αἲξ βραχεῖαν μὲν τοῖς δεσπόταις παρέχει τὴν πρόσοδον, παρέχει δὲ ὅμως, οὕτω καὶ ἡ τοῦ λαοῦ δευτέρα φορὰ δουλείαν τοῖς Αἰγυπτίοις, εἰ καὶ μὴ πολλήν, ἀλλ' ὅμως παρείχετο. Τρίτος δὲ ὁ κριὸς προσαχθείς, τὴν τρίτην ἄντικρυς προεμήνυεν· ὅτε γὰρ κριὸς πλείονα δίδωσιν ἐξ αὐτοῦ τῷ δεσπότῃ τὸν πόρον, ὁμοίως δὲ καὶ τῶν Ἰσραηλιτῶν ἀπεκαρπώσαντο μάλιστα τὴν τρίτην γενεὰν οἱ Αἰγύπτιοι. Ἥ γε μὴν τρυγὼν μετὰ τῆς περιστερᾶς, τοὺς ἐξελθόντας ἐξ Αἰγύπτου δηλοῖ. Καὶ ἡ μὲν τρυγών, ὡς φιλέρημος ὄρνις, τὸν ἐν τῇ ἐρήμῳ διαγενόμενον γνωρίζει λαόν· ἡ περιστερὰ δέ, ὡς ἥμερος καὶ ἀνθρώποις **184** ἅμα κατ' οἴκους αὐλιζομένη, τὸν ἐν τῇ γῇ τῆς ἐπαγγελίας κατοικισθέντα λαόν. Τούτου γοῦν ἕνεχεν τήν τε δάμαλιν καὶ τὴν αἶγα καὶ τὸν κριὸν μέσα διεῖλε καὶ τέθεικεν αὐτοῖς ἀντιπρόσωπα[2], διὰ μὲν τῆς τομῆς, τὴν ἐν τῇ παροικήσει θλίψιν αὐτῶν καὶ τὴν συντριβὴν ὑπεμφαίνων, διὰ δὲ τῆς θέσεως τῆς ἀντιπροσώπου, τὸ τῆς δουλείας ἀλλήλοις αὐτοὺς συμμετεσχηκέναι δηλῶν. Τὴν μέντοι τρυγόνα καὶ τὴν περιστερὰν ἐφύλαξεν ἀδιαίρετον, ὡς τῶν ἐξελθόντων τὴν Αἴγυπτον τῆς Αἰγυπτιακῆς ἀπαλλαγέντων ταλαιπωρίας. Ἡ δὲ ἐπὶ τὰ διχοτομήματα τῶν ὀρνέων κατάπτησις τὴν κατὰ τοῦ λαοῦ τῶν Αἰγυπτίων ὁρμὴν προεμήνυεν. Τὸ δὲ συγκαθεσθῆναι αὐτοῖς ἀποσοβοῦντα τὸν Ἀβραάμ[3], ἐδείκνυ τοῦ Θεοῦ τὴν περὶ τὸν λαὸν πρόνοιαν ἐσομένην διὰ τὰς πρὸς τὸν Ἀβραὰμ ὑποσχέσεις. «Περὶ δὲ ἡλίου», φησίν, «δυσμάς» — ἡ τῆς

---

1. Πρβλ. Γεν. 15,9. **2.** Πρβλ. Γεν. 15,10. **3.** Πρβλ. Γεν. 15,11.

ἡμέρας συμπλήρωσις τὴν συμπλήρωσιν τῶν χρόνων παραδηλοῖ —, «ἔκστασις ἐπέπεσεν ἐπὶ τὸν Ἀβραάμ, καὶ ἰδοὺ φόβος μέγας καὶ σκοτεινὸς ἐπιπίπτει αὐτῷ»[1], πρὸς τὸ ἀμετεώριστον αὐτόν, οἶμαι, γενέσθαι καὶ συντεταμένον εἰς τὴν τῶν λεγομένων ἀκρόασιν.

13
Γεν. 28,18-19

224 Ἐπέχεεν ὁ Ἰακὼβ ἔλαιον ἐπὶ τὸ ἄκρον τοῦ λίθου καὶ ἐκάλεσε τὸν τόπον «Οἶκος Θεοῦ»[2]. Ἦν δὲ τὸ πρᾶγμα τύπος τῆς Μωσαϊκῆς σκηνῆς, ἣν κατασκευάσας καὶ ἀναστήσας[3] «ἔχρισεν»[4].

14
Γεν. 32,25-28

233 Τοῦ Λάβαν ἀπαλλαγεὶς ὁ Ἰακὼβ ὁρᾷ παρεμβολὴν Ἀγγέλων[5], πάντως που τὴν ὁρισθεῖσαν μετὰ Μιχαὴλ τοῦ ἄρχοντος τοῦ λαοῦ Ἰσραήλ, ὃς κατέστη αὐτοῦ προεστάναι, ὡς Γαβριὴλ φησι πρὸς τὸν Δανιήλ[6]· «Μιχαὴλ ὁ ἄρχων ὑμῶν»[7]. Ἐπειδὴ γὰρ τὸν τοῦ Λάβαν φόβον ἀποθέμενος, μετέθηκε τὰς φροντίδας εἰς τὰ κατὰ τὸν Ἡσαῦ, δείκνυται ἡ παρεμβολὴ τῶν Ἀγγέλων ὡς ἂν μὴ φοβοῖτο τὴν παρεμβολὴν τῶν συνόντων αὐτοῦ τῷ ἀδελφῷ[8]. Πάντας δὲ τοὺς αὐτοῦ παραγαγὼν διὰ τοῦ ποταμοῦ καὶ αὐτὸς ὑπολειφθείς, τότε παλαίει τῷ φανέντι[9]. Καὶ οὗτος ἦν ἄρα ὁ ἐπὶ τῆς κλίμακος ἐστηριγμένος τῆς ἐν Βαιθὴλ αὐτῷ φανείσης· οἱ δὲ Ἄγγελοι οἱ ἀναβαίνοντες καὶ καταβαίνοντες ἡ παρεμβολὴ ἦν[10].

«Εἶδε δέ», φησίν, «ὅτι οὐ δύναται πρὸς αὐτόν· καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησεν»[11]. Ὁ μὲν Ἰακώβ «εἶδεν ὅτι οὐ δύναται» πρὸς τὸν Ἄγγελον, ὁ δὲ Ἄγγελος «ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ»[12].

---

1. Γεν. 15,12. **2.** Πρβλ. Γεν. 28,18-19. **3.** Πρβλ. Ἐξ. 40,17-33. **4.** Λευϊτ. 8,10-11. Ἀριθ. 7,1. **5.** Πρβλ. Γεν. 32,2. **6.** Πρβλ. Δαν. (Θδτ.) 8,16. 9,21. **7.** Δαν. (Θδτ.) 10,21. **8.** Πρβλ. Γεν. 32,6-8. **9.** Πρβλ. Γεν. 32,23-25. **10.** Πρβλ. Γεν. 28,12-13. **11.** Γεν. 32,26. **12.** Ἔνθ᾽ ἀν.

Τό γε μὴν τὸν Ἄγγελον εἰπεῖν «ἀπόστειλόν με», προτρεπο**234**μένου ἦν καὶ παῤῥησίαν διδόντος τῷ Ἰακὼβ εἰπεῖν· «οὐ μή σε ἀποστείλω εἰ μή με εὐλογήσῃς»[1].

Ὁ δὲ ἐρωτᾷ· «τί τὸ ὄνομά σου; Ὁ δὲ εἶπεν· Ἰακώβ. Εἶπε δὲ αὐτῷ· οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ»[2]. Ἱκανή σοι, φησίν, εὐλογία τὸ παλαῖσαι μετὰ Θεοῦ· σημεῖον ἔστω σοι μέγιστον τὸ Ἰσραὴλ μετονομασθῆναι, ὅπερ ἐστίν, ἄνθρωπος ὁρῶν Θεόν. Καὶ μὴν εἰ τὴν φύσιν Ἄγγελος ἦν ὁ φανεὶς αὐτῷ, ψευδῶς ἂν ἐκλήθη Ἰσραὴλ ἀπὸ τοῦ τὸν οὐκ ὄντα Θεὸν ἑωρακέναι. Οὐκοῦν Θεὸς ἦν ὁ αὐτὸς καὶ ἄνθρωπος καὶ Ἄγγελος, πάντα ἀληθῶς· ἀλλὰ τὸ μὲν τῆς ἐνανθρωπήσεως, τὸ δὲ τῆς οἰκονομίας, τὸ δὲ τῆς φύσεως.

15
Γεν. 44,4-5

259 [645] «Κόνδυ» μὲν τὸ λεγόμενον ἁπλοπότιον λέγει. Τὸ δέ «οἰωνισμῷ οἰωνίζεται ἐν αὐτῷ»[3] τοῦτό φησιν, ὅτι ἔγκριτον ὡς ἄρχοντος τοῦτό ἐστιν αὐτοῦ παρὰ τοῖς συνεστιωμένοις αὐτῷ τὸ ποτήριον· ἔχει τοίνυν σύμβολον ὥσπερ αὐτὸ τῆς ἀρχῆς, καὶ τὴν περὶ αὐτὸ ῥᾳδιουργίαν ἡγεῖται τῆς ἀρχῆς αὐτοῦ πάσης ἐπιβουλήν.

16
Γεν. 49,4

271 [645] Ἐπειδὴ γὰρ ἴδιόν ἐστι τοῦ ὕδατος θερμαίνεσθαί τε πυρὸς ὑποκειμένου, καὶ ἀποτίθεσθαι τὴν θέρμην ταχέως τοῦ πυρὸς ἀφαιρεθέντος, μὴ κατ' ἐκεῖνο, φησίν, ἀπόλοιο καὶ ἀφανισθείης εἰς τὸ παντελὲς τῷ θανάτῳ· τοῦτο γὰρ λέγει «ὡς ὕδωρ μὴ ἐκζέσῃς»[4]. Εἰ γὰρ καὶ τὸ ἁμάρτημα, φησίν, ἄξιόν ἐστιν ὄλεθρόν σοι ἐπαγαγεῖν, ἀλλὰ μὴ οὕτως ἀπόλοιο μηδὲ δίκην ὕδατος διαφθαρείης, τὴν ἐνοῦσαν ἀποθέμενος θέρμην, τῷ διαδοχὴν ἐκ σοῦ μηδεμίαν γενέσθαι.

---

1. Γεν. 32,27. **2.** Γεν. 32,28-29. **3.** Γεν. 44,5. **4.** Γεν. 49,4.

17

Γεν. 49,11-12

281 [645] Εἰρηκὼς τὸ τῆς ὄνου ἤγουν τοῦ πώλου ἐφ' ᾧπερ ἐκαθέσθη πρὸ τοῦ πάθους ὁ Κύριος[1], ἐπάγει καὶ τοῦ πάθους τὴν μήνυσιν. «Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ»[2], καὶ τὰ ἑξῆς. Ἔθος τῇ Γραφῇ οἴνῳ παρεικάζειν τὰς τιμωρίας καὶ τοὺς θανάτους· ὡς τό «ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου»[3], ἵνα εἴπῃ ὅτι ἐπὶ τῆς ἐξουσίας ἐστὶ τῆς αὐτοῦ τὰς τιμωρίας ἐπάγειν οἷς βούλεται. Κἀνταῦθα τοίνυν τὸ πάθος καὶ τὸν θάνατον οἶνον εἰπών, καλῶς προσέθηκε τό «ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ»[4], ὡς ἂν τῷ τοῦ αἵματος ὀνόματι σαφέστερον δηλώσῃ τὸ πάθος. «Στολήν» μὲν οὖν «αὐτοῦ» ὀνομάζει τὴν ληφθεῖσαν τοῦ «δούλου μορφήν»[5]. Εὔδηλον δὲ ὡς οἴνῳ πλύνεσθαι ἐσθῆτα οὐχ οἷόν τε· τοὐναντίον δὲ καὶ μολύνεται οἴνῳ ἐσθής, ὡς καὶ δυσέκπλυτον εἶναι τὸν ἐξ αὐτοῦ μολυσμόν. Ἀλλ' ἐπειδὴ ὁ θάνατος πᾶ**282**σι μὲν ἀνθρώποις ἀπόθεσίς ἐστι ζωῆς, τῷ δὲ Κυρίῳ οὐκ ἀπόθεσις ζωῆς ἀλλὰ μετάστασις εἰς ἑτέραν τινὰ κρείττονα γέγονε ζωήν, εἰς ἣν ἐκ νεκρῶν ἀναστὰς μετελήλυθεν, διὰ τοῦτο λέγει· «πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ», καὶ τὰ ἑξῆς, ἵνα εἴπῃ ὅτι δέξεται τὸ πάθος οὐκ ἐπὶ τιμωρίᾳ ὡς οἱ λοιποί, ἀλλ' ὥστε πολὺ λαμπρότερος ἐξ αὐτοῦ φανῆναι, ἀθάνατος καὶ ἄφθαρτος γεγονώς.

Εἶτα τὸ αὐτὸ πάλιν ἑτέρως· «χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα»[6]. Ἐπειδὴ γὰρ τῶν οἴνῳ πολλῷ κεχρημένων ἔθος ὑφαίμους πως εἶναι τοὺς ὀφθαλμούς, τοῦτο λέγει ὅτι κατὰ μὲν τὸ πάθος καὶ τὸν θάνατον ἀλλοίωσίν τινα φανεῖται δεξάμενος, τοσαύτην δὲ ἕξει ἐπὶ τὸ κρεῖττον μεταβολὴν ὡς γάλακτος φανῆναι λαμπρότερος. Ἀπὸ γὰρ τῶν ὀδόντων ὡς ἀπὸ μέρους, τὸ πᾶν ἠβουλήθη εἰπεῖν· καὶ μάλιστα ἐπειδή πως ἀποκεκρυμμένους μὲν εἶναι τοῖς χείλεσι τοὺς ὀδόντας συμβέβηκεν, ἀναφαίνεσθαι δὲ ἀνοιγομένου τοῦ στόματος, οὕτω δέ πως καὶ ἡ περὶ αὐτὸν λαμπρότης κεκρυμμένη κατὰ τὸν τοῦ θανάτου καιρόν, ἀναφανήσεται πᾶσι διὰ τῆς Ἀναστάσεως.

---

1. Πρβλ. Ματθ. 21,1-7. Μάρκ. 11,1-7. Λουκ. 19,29-35. Ἰω. 12,14-15. **2.** Γεν. 49,11. **3.** Ψαλ. 74,9. **4.** Γεν. 49,11. **5.** Φιλιπ. 2,7. **6.** Γεν. 49,12.

ΕΚ ΤΗΣ ΕΡΜΗΝΕΙΑΣ ΤΗΣ ΚΤΙΣΕΩΣ
ΛΟΓΟΥ Γ' *

274 1. ‹῞Ωσπερ› εἴ τις βασιλεὺς πόλιν τινὰ μεγίστην κατασκευάσας, πολλοῖς τε αὐτὴν καὶ ποικίλοις διακοσμήσας ἔργοις, μετὰ τὴν ἁπάντων ἐκπλήρωσιν κελεύσειεν εἰκόνα ἑαυτοῦ γενομένην μεγίστην τινὰ καὶ εὐπρεπεστάτην ἐν μέσῳ πάσης ἑστάναι τῆς πόλεως εἰς ἔλεγχον τοῦ τῆς πόλεως αἰτίου, ἣν ἀνάγκη καὶ ὡς εἰκόνα τοῦ πεποιηκότος τὴν πόλιν βασιλέως παρὰ τῶν κατὰ τὴν πόλιν θεραπεύεσθαι πάντων, χάριν [τινὰ ἔχειν] ὁμολογούντων ‹διὰ τοῦτο τῷ κτίστῃ τῆς πόλεως ὅτιπερ αὐτοῖς ἐνδιαίτημα δέδωκε τοιοῦτον, οὕτω καὶ ὁ τῆς κτίσεως Δημιουργὸς πεποίηκε μὲν πάντα τὸν κόσμον, διαφόροις τε καὶ ποικίλοις καλλωπίσας τοῖς ἔργοις, τελευταῖον δὲ τὸν ἄνθρωπον ἐν τάξει παρήγαγεν εἰκόνος οἰκείας, ὡς ἂν ἅπασα ἡ κτίσις ἐν τῇ περὶ τοῦτον σπουδῇ τε καὶ θεραπείᾳ τὴν προσήκουσαν ἀναφέρῃ τιμὴν τῷ Θεῷ›.....

2. Ἐντεῦθεν αὐτὸν καί «κατ' εἰκόνα»[1] ἔφη ποιεῖν οἰκείαν, ἐπειδὴ τάξιν τινὰ εἰκόνος παρείχετο τοῖς ὅλοις. ῞Ωσπερ γὰρ οἱ κατὰ πόλεις ἀπόντος τοῦ βασιλέως τὴν εἰκόνα θεραπεύουσιν τὴν ἐκείνου, οὐ τὴν γραφὴν οὐδὲ τὰ ἐπικείμενα χρώματα τῇ σανίδι δι' αἰδοῦς ἔχοντες, θεραπεύειν δὲ ἐκεῖνον ἡγούμενοι, οὗπερ οὖν εἰς ὑπόμνησιν ἡ εἰκὼν διὰ τῆς μιμήσεως ἄγει τοὺς θεωμένους, οὕτω δὴ καὶ ὁ Θεὸς ἀόρατος ὢν πάσῃ τῇ κτίσει, ἐν εἰκόνος τάξει τέθεικεν αὐτῇ τὸν ἄνθρωπον, ἵν' ἐπειδὰν ἐν τῇ τούτου θεραπείᾳ οἱ περὶ τούτων ἐκκείμενοι παρὰ τοῦ θείου νόμου σπεύδωσιν ἐκπληροῦν, αὐτὸ δὴ τὸ θεῖον τιμῶντες ἀόρα**276**τον αὐτοῖς ὑπάρχον ἐν τῇ περὶ τούτου ἐλέγχωνται προθυμίᾳ, καὶ ὡς διά τινος φαινομένης εἰκόνος ἀφανὲς ὑπάρχον θεραπεύοντες τὸ θεῖον.

3. Εἰκότως ἄρα κἀνταῦθα τῷ «κατ' εἰκόνα» προστέθεικεν τήν «ὁμοίωσιν»[2]. Ἐπειδήπερ ὁ Θεὸς πεποίηκεν μὲν ἐν εἰκόνος τάξει

---

* Κατὰ τὴν ἔκδοσιν F. Petit, L'homme créé «à l'image» de Dieu. Quelques fragments grecs inédits de Théodore de Mopsueste, ἐν Muséon 100 (1987), σσ. 274-280.

1. Γεν. 1,26-27. 2. Γεν. 1,26.

τὸν ἄνθρωπον, ὥσπερ οὖν ἔφην, ταύτης δὲ ἕνεκεν τῆς αἰτίας εἰκότως αὐτὸν καὶ μίμησίν τινα ἔχειν δέδωκεν τῶν τῷ θείῳ προσόντων, πολὺ μὲν λειπομένην τῆς οὐσίας ἐκείνης καὶ ὁπόσον γε εἰκὸς εἰκόνα λείπεσθαι ἀρχετύπου, μιμήματα δὲ ὅμως καὶ ἐναυγάσματα φέροντα τοῦ μεγέθους ἐκείνου.

4. Ταυτὶ γὰρ παρὰ Θεῷ μέν ἐστιν ἀποῤῥήτως, παρ' ἡμῖν δὲ ὡς ἐν εἰκόνι, κατὰ τὸ δεδομένον ἡμῖν παρὰ τοῦ πεποιηκότος μέτρον.

5. Ἀφ' ὧν γὰρ ἡμῖν δέδωκεν ἔχειν ὡς ἐν εἰκόνι, τῶν παρ' αὐτῷ τὴν θεωρίαν διὰ τῆς οἰκείας διδασκαλίας ὑπέδειξεν ὁ Προφήτης.

278 6. Παρ' ἡμῖν δὲ ὡς ἐν εἰκόνι μίμησίν τινα καθεστάναι τούτου δέδωκεν ὁ Θεός, αὐτάρκη πρὸς τὸ χειραγωγεῖν ἡμᾶς εἰς ἐπίγνωσιν τῆς θείας δυνάμεως· ...ἥ τήν τε ἀνάστασιν ἀποῤῥήτως... ὡς ἐν εἰκόνι πρὸς τὰ οἰκεῖα δέδωκεν μίμησιν.

7. Ἡμεῖς δὲ ἐναύγασμά τι καὶ μίμημα τῆς ἐξουσίας ἔχομεν ἐκείνης τῆς τε ἐπὶ τῶν πραττομένων κριτικῆς διαγνώσεως, οἷα εἰκόνος ἐπέχοντες τάξιν· ἣ πολὺ μὲν λείπεται τῷ πράγματι τοῦ ἀρχετύπου, διὰ μιμήσεως δέ τινος αὐτάρκως ἔχει πρὸς αἴσθησιν ἡμᾶς ἀγαγεῖν τοῦ μεγέθους τῶν καὶ κατὰ τοῦτο τῷ Θεῷ προσόντων.

8. Ἅπερ οὖν ἄμφω, ὥσπερ διά τινος εἰκόνος κατὰ μίμησιν ἡμᾶς προσαγούσης τῇ γνώσει, δείκνυσιν τοῦ θείου — ἐφ' ἅπασιν μέντοι δῆλον ἐκεῖνο κἀνταῦθα, ὅτι ἀποῤῥήτως μὲν ἐπὶ τῆς θείας φύσεως ἀνάγκη δὴ ταῦτα νοεῖν —, οὕτω δὲ ἔχειν αὐτὰ τῇ ἡμετέρᾳ δέδωκεν ψυχῇ, ὡς εἰκὸς ἔχειν εἰκόνα μίμησίν τινα λαβοῦσαν τῶν ἀποῤῥήτως τῷ Θεῷ προσόντων, ἵν' ἐντεῦθεν ἀοράτῳ τυγχάνοντι προσαγώμεθα τῷ θείῳ ἀναλογιζώμεθά τε ἐκ τῶν παρ' ἡμῖν ἐκεῖνα, πλεῖστόν γε ὅσον **280** ἡμῶν ὑπερκείμενα, καθὼς ἔχειν ἡμῖν τῆς τοιαύτης προσαγωγῆς τὴν δύναμιν δέδωκεν ὁ Θεός.

9. Ὡς ἂν αὐτός τε καὶ πάντα δὴ δι' αὐτοῦ τῷ Θεῷ διὰ τῆς εἰκόνος προσαγάγοιτο ταύτης, ἀοράτῳ τε ὄντι πάσῃ τῇ κτίσει κατὰ τὴν οἰκείαν οὐσίαν, καὶ οὐχ ἑτέρως ὑπὸ τῆς κτίσεως ὁρᾶσθαι δυναμένῳ ἀλλ' ἢ ἐν εἰκόνι τινὶ φαινομένῃ τοῖς πᾶσιν, — τῆς τοίνυν παρ' ἡμῖν εἰκόνος, ἣν ἂν ἀνθρώπου τις ζωγράφος κατὰ τὴν οἰκείαν ἐργάσαιτο τέχνην, σχῆμα μόνον ἐχούσης τοῦ ἀρχετύπου,

πρᾶγμα δὲ οὐδὲν ἐν οὐσίᾳ — ἐξαίρετον δὴ τοῦτο τὴν οἰκείαν ἔχειν εἰκόνα πεποίηκεν ὁ Θεός, τὸ καὶ ἐπὶ πραγμάτων καί τινος οὐσίας αὐτῶν μεταδοῦναι, τῶν μιμημάτων λειπομένων ἀναγκαίως τοῦ ἀποῤῥήτου τῆς οὐσίας ἐκείνης, κατὰ τοσοῦτον καθ' ὅσον εἰκὸς εἰκόνα τοῦ οὗπερ μίμημα φέρει μόνον.

ΕΙΣ ΤΗΝ ΕΞΟΔΟΝ

Α'*

'Εξ. 25,9

26 Κρεῖττον, ὡς οἶμαι, «τὸ μὲν παράδειγμα τῆς σκηνῆς»[1] (σκηνοπηγίας) ὑπόδειγμα ὀνομάζειν (ὀνομάζων), «τὸ δὲ παράδειγμα τῶν σκευῶν»[2] ὁμοίωμα. 'Επειδὴ γὰρ ἡ σκηνὴ τύπος ἦν τῆς κτίσεως, περὶ ἧς Μωυσῆς ἱστορεῖ, καὶ ἀξιοῦντι δὲ τῷ Θεῷ συνεῖναι τοῖς ἀνθρώποις, ἔδει σκηνὴν γενέσθαι τῆς κτίσεως ὅλης τοῦ μεγίστου ναοῦ τὸ σχῆμα φέρουσαν, ἵνα γινώσκωσι οἱ ἄνθρωποι ὅτι οἱ 'Ισραηλῖται τὸν τοῦ παντὸς Κύριον ἔχουσι συγκατιόντα, οὐχ ἐν κολαπτοῖς καὶ γλυφαῖς ἀνθρώπων συνδούμενον (προσδούμενον), ἀλλ' οἷα Δεσπότην τῶν ὅλων τῷ τοῦ παντὸς ἀφομοιώματι ἐγκατοικοῦντα, ἵνα καὶ ἐν βραχεῖ τῷ γινομένῳ μέγα φαίνηται τὸ οἰκονομούμενον καὶ θεοπρεπές. Διὰ τοῦτο ὑπόδειγμα καλεῖ «τὸ παράδειγμα τῆς σκηνῆς». Καὶ μετὰ ταῦτα, φησίν, «ὅρα ποιήσεις κατὰ τὸν τύπον τὸν δειχθέντά σοι»[3]. Μίμημα ἄρα τοῦ παντὸς ἡ σκηνή[4], τῶν δὲ σκευῶν ὁμοίωμα εἰκότως προσηγόρευσεν. Οὐ γὰρ ὡς ὄντων ἔδει παράδειγμα παρασχεῖν, ἀλλὰ τοῦ σχήματος αὐτῶν ὁμοίωμα διὰ τῆς προφητικῆς ὀπτασίας ὑποδειχθῆναι τῇ ψυχῇ τοῦ Μωυσέως.

'Εξ. 25,30

Ἡ μὲν τράπεζα, ἐφ' ἧς οἱ ἄρτοι προέκειντο[5], σύμβολον ἦν τοῦ ἐνιαυσίου κύκλου, ὡς τέσσαρσι πληρωμένου ταῖς τροπαῖς, χει-

---

* Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Essai sur Théodore de Mopsueste (Studi e Testi 141), Città del Vaticano 1948, σσ. 26-27 (J.-P. Migne,. PG 66, 648).

1. 'Εξ. 25,9. **2.** Ἔνθ' ἀν. **3.** 'Εξ. 25,40. **4.** Πρβλ. Σ. Σολ. 9,8. **5.** Πρβλ. 'Εξ. 25,30. 39,17.

μῶνί τε καὶ θέρει, ἔαρι καὶ μετοπώρῳ· διὰ τῆς καθ' 27 ἑκάστην γὰρ πρὸς τὸ χρήσιμον γιγνομένης τῶν τεσσάρων στοιχείων μεταβολῆς τῶν ἀπὸ γῆς καρπῶν τήν τε ἀφθονίαν ἡμῖν παρέχεται καὶ τὴν ἀπόλαυσιν ἐπὶ συστάσει τοῦ παρόντος βίου.

'Εξ. 26,35

[648] Ἡ δὲ λυχνία[1] σύμβολον ἦν τῆς ἀποτελουμένης παρὰ τοῦ Θεοῦ ἡμέρας. Ὅθεν καὶ ἑπτὰ τοὺς φωστῆρας[2] εἶχε συμβόλαιον (σύμβολον) τῆς ἑβδομάδος τῶν ἡμερῶν.

Οὕτω μὲν οὖν εἶχεν ἡ πρώτη σκηνή[3], λέγει δὲ καὶ τὰ τῆς δευτέρας.

Ἡ μὲν οὖν «κιβωτὸς τῆς διαθήκης» τῆς τοῦ θείου θεραπείας τε καὶ ἐπιγνώσεως σύμβολον ἦν. Αἱ δὲ ἐν αὐτῇ «πλάκες τῆς διαθήκης» καὶ ἡ τοῦ «'Ααρὼν ῥάβδος» τοῦτο ἐσήμαινον, τὸ περὶ τὸν Θεὸν θεραπείαν διά τε τῆς τῶν νομίμων πληροῦσθαι φυλακῆς καὶ τῆς κατὰ τὴν ἱερατείαν λειτουργίας. Ἡ δέ «τὸ μάννα ἔχουσα στάμνος» ὑπόμνημα ἦν τοῦ καιροῦ καθ' ὃν ταῦτα παρὰ τοῦ Θεοῦ παιδευόμενοι, τῷ μάννα τὴν ἔρημον διετρέφοντο. Τὸ μέντοι «χρυσοῦν θυμιατήριον» σύμβολον τοῦ δεκτὸν εἶναι τῷ Θεῷ καὶ ἡδὺ τὴν ἀπὸ τούτων πληρουμένην ἀρετήν. Περὶ πάντα δὲ χρυσὸς εἰς μήνυμα τοῦ πάντων εἶναι τῶν ἐπὶ γῆς τιμιωτέραν Θεῷ τὴν περὶ ταῦτα τῶν ἀνθρώπων ἐμμέλειαν. Τὰ δέ «ὑπεράνω τούτων Χερουβίμ»[4] μήνυμα τῶν ἀοράτων καὶ λειτουργικῶν δυνάμεων, ὧν ἐν μέσῳ τούτων τὸν Θεὸν χρηματίζειν συνέβαινεν, ἐπειδὴ καὶ ταῖς ἀοράτοις δυνάμεσι διακόνοις κεχρῆσθαι τῷ Θεῷ ἔθος, καὶ διὰ τούτων πάντα πληροῦν τὰ εἰς ὠφέλειαν συντείνοντα τῶν ἡμετέρων ψυχῶν.

---

1. Πρβλ. 'Εξ. 25,31. 26,35. 2. Πρβλ. 'Εξ. 25,37. 3. Πρβλ. 'Εβρ. 9,1-2. 4. 'Εβρ. 9,4-5.

Β'*

Ἐξ. 25,30

176 Πρὸς δὲ τοῖς βορείοις τοῦ θυσιαστηρίου τράπεζα εἶχε τὴν θέσιν[1], ἐφ' ἧς ἡ πρόθεσις τῶν ἄρτων[2], ὅτι τροφιμώτατα τῶν πνευμάτων τὰ βόρεια.

Ἐξ. 33,21

«Τόπον»[3] τὴν ἀγαθότητα καλεῖ, δι' ἧς ἀχώρητος ὢν τῇ φύσει, ὡς δυνατὸν τοῖς ἀξίοις γίνεται χωρητός.

---

* Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Les anciens commentateurs grecs de l' Octateuque et des Rois (Studi e Testi 201), Città del Vaticano 1959, σ. 176.

1. Πρβλ. Ἐξ. 26,35. **2.** Πρβλ. Ἐξ. 25,30. 40, 22-33. **3.** Ἐξ. 33,21.

ΕΙΣ ΤΟΝ ΙΗΣΟΥΝ ΤΟΥ ΝΑΥΗ*

'Ιησ. Ν. 7, 4-5

[1017] Ἡ τῶν ὀλίγων 'Ισραηλιτῶν φυγή, τὸν μὲν ἱερόσυλον καὶ τοὺς συνειδότας ἐκόλασε, **[1020]** τοὺς δὲ κάκιστα βιοῦντας ἀνεῖλε κακῶς, καὶ τὸ μὲν πλῆθος τῶν 'Ιουδαίων ἐφόβησεν[1], ὅλῳ δὲ τῷ πολέμῳ ταχύτερον τὸ τέλος ἐπέθηκε.

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. Migne, Patrologiae cursus completus, series graeca, τ. 87A, Paris 1865, στ. 1017-1020.

1. Πρβλ. 'Ιησ. Ν. 7,5.

ΕΙΣ ΤΟΥΣ ΚΡΙΤΑΣ*

Κριτ. 13,25

210 Πολλάκις ὁ Θεὸς τὸν τοῦ Ἁγίου Πνεύματος ἄξιον οὐχ εὑρηκώς, τῷ χρησιμωτέρῳ τῶν ἄλλων πρὸς τὴν ἑκάστοτε κατεπείγουσαν οἰκονομίαν ἐχρήσατο· ἐπεὶ οὐδὲ Προφήτης ὠνό**211**μασται παρὰ τῇ Γραφῇ οὔτε αὐτὸς Σαμψών, οὐδὲ Ἰεφθάε. [**27** Τὸ δέ «ἤρξατο πνεῦμα Κυρίου»[1] καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ κατὰ τὴν πνευματικὴν καὶ χάριν καὶ ἐνέργειαν ἐτρέφετο].

Κριτ. 16,17

226 Εἰ δὲ οἱ αἱρετικοὶ γελῶσιν, ὅτι ἐν θριξὶν ἡ χάρις, πῶς οὐ γελῶσι μειζόνως, ὅτι ἐν σκιαῖς Ἀποστόλων[2] καὶ κρασπέδων ἱματίων τοῦ Ἰησοῦ[3] ἡ δύναμις, καὶ ἐν τῷ πηλῷ τὸν τυφλὸν ἰάσατο[4];

---

* Κατὰ τὴν ἔκδοσιν Νικηφόρου Ἱερομονάχου Θεοτόκη, Σειρὰ ἑνὸς καὶ πεντήκοντα ὑπομνηματιστῶν εἰς τὴν Ὀκτάτευχον καὶ τὰ Βασιλειῶν, τ. 2, Λειψία 1773, στ. 210-211 καὶ 226. Τὸ ἐντὸς ἀγκυλῶν κείμενον παρατίθεται κατὰ τὴν ἔκδοσιν τοῦ R. Devreesse, Essai sur Théodore de Mopsueste (Studi e Testi 141), Città del Vaticano 1948, σ. 27.

1. Κριτ. 13,25. **2.** Πρβλ. Πράξ. 5,15. **3.** Πρβλ. Ματθ. 9,20. 14,36. Μάρκ. 6,56. Λουκ. 8,44. **4.** Πρβλ. Ἰω. 9, 6-7.

ΕΙΣ ΤΑ ΒΑΣΙΛΕΙΩΝ*

Α′ Βασ. 2,18-19

176 Μετὰ πάσης, φησίν, ἐπιμελείας τὴν λειτουργίαν ἐξετέλει, ἔνδυμα ἱερατικὸν περικείμενος (τοῦτο γὰρ λέγει τό «ἐφούδ»[1] [ὅπερ] ἐκέχρηντο ἢ ἐρωτῶντες τὸν Θεόν, ἢ ὁτιδήποτε τῶν σπουδαίων ἐπιτελοῦντες), ἔχων δὲ καὶ τοῦ προσήκοντος ἕνεκεν ἐπικειμένην τοῖς ὤμοις τήν «διπλοΐδα»[2], οἷα νῦν ἐστιν τὰ λεγόμενα ὠμοφόρια. Ταῦτα γάρ, φησίν, «ἡ μήτηρ αὐτοῦ»[3] ποιοῦσα καθ' ὃν ἀνῄει καιρὸν τῶν νενομισμένων ἕνεκεν ἑορτῶν ἀνεκόμιζεν αὐτῷ πάντως. Δείκνυται δὲ δι' ὅλων καὶ ἱερατικοῦ γένους ὢν ὁ Σαμουὴλ καὶ εἰκότως ἱερατεύων, ὡς **177** δῆλον εἶναι ὅτι τό «ἐξ ὄρους Ἐφραίμ»[4] ὅταν λέγῃ, οὐχ ὅτι ἐκείνης ἦν τῆς φυλῆς, ἀλλ' ὅτι τοῦ ἱερατικοῦ γένους ὢν ἐν ἐκείνοις ᾤκει τοῖς τόποις.

Α′ Βασ. 2,32

«Καὶ ἐπιβλέψει κραταίωμα ὢν ἐν πᾶσιν οἷς ἀγαθύνει τὸν Ἰσραήλ»[5] Ὁ γὰρ μετὰ πάσης, φησί, πάντοτε τῆς ἰσχύος ὢν δοκιμάσει τινὶ τῷ τρόπῳ προσῆκεν κατὰ τὸ δέον ἄγεσθαι τὸν λαόν.

Β′ Βασ. 12,11

Ὅμοιον ἂν εἴη τό «καὶ παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας»[6] καί «εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα»[7].

---

* Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Les anciens commentateurs grecs de l' Octateuque et des Rois (Studi e Testi 201), Città del Vaticano 1959, σσ. 176-177.

1. Α′ Βασ. 2,18. **2.** Α′ Βασ. 2,19. **3.** Ἔνθ' ἀν. **4.** Α′ Βασ. 1,1. **5.** Α′ Βασ. 2,32. **6.** Ρωμ. 1,26. **7.** Ρωμ. 1,28.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ

ΜΕΡΟΣ Α'

(Ψαλμοὶ 2-43)*

Ψαλμὸς 2

9 «Ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς»

15 [649] Οὐχ ὥστε ἀπολέσαι καὶ ἀναλῶσαι συντρίβει[1], ἀλλ' ὥστε ἀναπλάσαι· πρὸς τοῦτο γὰρ σκοπὸς τῷ κεραμεῖ συντρίβειν τὰ οἰκεῖα σκεύη ὅταν μὴ ὑγιῆ καὶ ἀκέραιον σώζῃ τοῦ κεραμέως τὴν διάπλασιν, οὐδέπω πυρὶ προσωμιληκότα· τούτοις δὲ μαρτυρεῖ καὶ ὁ μακάριος Ἱερεμίας ὁ προφήτης λέγων ὡς ἐκ Θεοῦ· «Ἢ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦτο ποιῆσαι ὑμῖν, οἶκος Ἰσραήλ;»[2] λέγει Κύριος, τουτέστι οὕτως καὶ διαπεσόντας ἀναπλάσαι, καὶ πάλιν εἰς τὸ ἀρχαῖον ἀποκαταστῆσαι.

12 «Δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος»

16 Ἀσπρὶξ ἡμᾶς ἔχεσθαι τῆς τοῦ Κυρίου διδασκαλίας βουλόμενος, εἰκότως τῇ τοῦ «δράξασθε»[3] φωνῇ κέχρηται.

Ψαλμὸς 3

2 «Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ»

17 Τοῦτο φανερώτερον δείκνυσιν ἐπὶ τοῦ Δαβὶδ δεῖν λέγεσθαι τὸν ψαλμόν· τὸ γὰρ ἐπανίστασθαι[4] κυρίως λέγεται ἐπὶ τῶν πρότερον μὲν ἐν ὑπηκόων τάξει καθεστώτων, μετὰ δὲ ταῦτα πόλεμον ἀραμένων.

---

* Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Le commentaire de Théodore de Mopsueste sur les Psaumes (Studi e Testi 93), Città del Vaticano 1939, σσ. 15-277 (J.-P. Migne, PG 66, 649-669).

1. Πρβλ. Ψαλ. 2,9. **2.** Ἱερ. 18,6. **3.** Ψαλ. 2,12. **4.** Πρβλ. Ψαλ. 3,2.

Ψαλμὸς 5

26 Ἐκ προσώπου τοῦ λαοῦ, φησί, τοῦ ὑπὸ Ναβουχοδονοσὸρ αἰχμαλωτισθέντος[1].

9 «Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου, κατεύθυνον ἐνώπιόν μου τὴν ὁδόν σου»

29 Τό «ὁδήγησόν με» καὶ τό «κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου»[2] τὸ αὐτὸ λέγει, ἀντὶ τοῦ ἐπανάγαγε. Τὸ γάρ «ἐνώπιόν σου», ἀντὶ τοῦ πρός σέ μου «κατεύθυνον τὴν ὁδόν», ἵνα ἐπανέλθω πρός σε, κατὰ τὴν ἰουδαϊκὴν ὑπόληψιν ὡς ἐν τῷ Σιὼν ὄρει τοῦ Θεοῦ διάγοντος[3]. Τὰ οὖν «ἕνεκα τῶν ἐχθρῶν μου» διὰ μέσου πρὸς ἀμφότερα ἔχον τὴν ἀνταπόδοσιν. Ἐπανάγαγε γάρ με, φησίν, ὥστε ἀπαλλάξαι τῶν κατεχόντων ἐχθρῶν. Καὶ ἐπειδὴ εἶπεν «ἐν τῇ δικαιοσύνῃ σου», τουτέστιν καθὼς ἔθος σοί ἐστιν **30** κρίνειν δικαίως, δείκνυσιν εὐθὺς ὅπως αὐτὸν ἀπαλλαγῆναι δίκαιον τῶν ἐχθρῶν, ἀπὸ τοῦ ἐκείνων τρόπου τὴν ἀπόδειξιν ποιούμενος.

13 «Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς»

31 Ὡς πανοπλίᾳ τῇ εὐαρεστήσει στεφανώσεις ἡμᾶς[4], τουτέστιν τῇ σφόδρα ἀσφαλεστάτῃ βοηθείᾳ τῆς εὐαρεστήσεώς σου, ἵνα εἴπῃ· ἣν παρασχεῖν ἡμῖν ἤρεσέν σοι καὶ ἧς ἐδοκίμασας μεταδοῦναι ἡμῖν ἀσφαλείας, ταύτῃ ἐπιδόξους καὶ ἐντίμους κατέστησας ἀβλαβεῖς ἡμᾶς ὑπὸ τῶν πολεμίων πάντη διατηρήσας, καλῶς «ὅπλον» καλέσας τὴν τοῦ Θεοῦ βοήθειαν.

Ψαλμὸς 6

Ἐξομολογεῖται τῷ Θεῷ ὁ μακάριος Δαβὶδ περὶ τῆς ἰδίας ἁμαρτίας, ἣν εἰργάσατο συγκαθευδήσας τῇ Βερσαβεέ[5]· λέγει δὲ ταῦτα ἐν συμφοραῖς ὤν, ἐν αἷς καὶ ἐξητάζετο διὰ τὴν ἁμαρτίαν.

---

1. Πρβλ. Δ′ Βασ. 24,10 ἑξ. Β′ Παρλ. 36,5-21. **2.** Ψαλ. 5,9. **3.** Πρβλ. Ψαλ. 9,12. **4.** Πρβλ. Ψαλ. 5,13. **5.** Πρβλ. Β′ Βασ. 11,2-4.

3 «Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου»

32 Τὸ αὐτὸ μειζόνως εἶπεν· τὸ μὲν γάρ «ἐταράχθη τὰ ὀστᾶ μου»[1] τὸ ἰσχυρὸν τοῦ συντριμμοῦ καὶ τῆς ταραχῆς παρίστησιν, τὸ δέ «καὶ ἡ ψυχή μου ἐτα**[652]**ράχθη σφόδρα»[2], τουτέστι συντρίψασά μου τὸ σῶμα διέδυ μέχρις αὐτῆς τῆς ψυχῆς ἡ ταραχή.

Ψαλμὸς 7

4 «Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσίν μου»

36 «Εἰ ἐποίησα τοῦτο»[3], ὃ νῦν πάσχω, τουτέστιν εἰ ἠδίκησα. Ὅθεν φανερώτερον ἐπάγει λέγων· «Εἰ ἔστιν ἀδικία ἐν χερσί μου» ἀντὶ τοῦ εἰ εὕρημαί τι ἄδικον ἐργασάμενος.

5 «Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά»

Ἀεὶ τὸ μεῖζον δεύτερον τάττει τοῦ ἐλάττονος· μεῖζον τοίνυν ὂν τοῦ ἀδικοῦντας ὑποφέρειν, τὸ μὴ ἄρξαι ἀδικίας δεύτερον λέγει.

«Ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός»

Ἀναχωρῆσαί με, φησίν, ἀπὸ τῶν ἐχθρῶν μου ἄπρακτος[4], μὴ δυνηθείς, φησίν, μηδὲ τὸ τυχὸν αὐτοὺς ἀντιδικῆσαι.

6 «Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι»

Αὐτοί τε, φησίν, μηδὲν πάθοιεν δεινὸν παρ' ἐμοῦ, καὶ ἐμὲ διαθεῖεν ἅπερ ἂν ἐθέλοιεν κακά.

«Καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου»

37 Τουτέστιν ἐξαλείψαι μου, φησίν, τὸ μνημόσυνον· τοῦτο γάρ ἐστιν τό «καταπατήσαι εἰς γῆν τὴν ζωήν μου»[5].

«Καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι»

Τουτέστιν οὕτως μοι περιγένοιτο, ὡς ἀνελεῖν με καὶ ἐγκαταχῶσαι τῇ γῇ καὶ μὴ περιλιπεῖν μου τῆς ζωῆς μνημόσυνον. Διά τοι τοῦτο; Ἐπειδὴ δόξα τοῖς Ἰσραηλίταις ἦν τὸ μνημόσυνον τελευτῶντας καταλιπεῖν, ἀδοξία δὲ τὸ ἐναντίον· τούτων γὰρ ἕνεκεν

---

1. Ψαλ. 6,3. **2.** Ψαλ. 6,4. **3.** Ψαλ. 7,4. **4.** Πρβλ. Ψαλ. 7,5. **5.** Ψαλ. 7,6.

καὶ ὁ Νόμος προσέταττεν τοῦ τελευτῶντος ἄπαιδος τὸν ἀδελφὸν λαμβάνοντα τὴν γυναῖκα ἀνιστᾶν σπέρμα τῷ ἀδελφῷ, ὡς ἂν μὴ τὸ μνημόσυνον τοῦ τελευτῶντος ἀφανίζοιτο[1].

7 «Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου»

38 Οὐχ ὅτι αὐτὸς ὑψοῦται· οὐ γὰρ προσδεῖται ὑψώσεως, ἀλλ' ὅτι ἐν ταῖς διανοίαις ἡμῶν τοιαύτη ἐγγίνεται ἔννοια περὶ αὐτοῦ ἐπειδάν τι ποιήσῃ φοβερὸν σημεῖον, διὰ τοῦτο λέγει «ἐν τοῖς πέρασι τῶν ἐχθρῶν μου»[2], τουτέστι πάντας περιλαβὼν τῇ τιμωρίᾳ τοὺς ἐχθροὺς γνώρισον ἅπασι τὸ ὑψηλόν σου καὶ τὸ ἰσχυρόν· τοῦτο γὰρ μάλιστα ἐγνωρίζετο ἐκ τοῦ πάντας τιμωρηθῆναι.

9 «Καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί»

39 «Ἀκακίαν»[3] δὲ οὐ τὴν ἁπλότητα, ἀλλὰ τὸ μηδὲν ἐργάσασθαι κακῶν λέγει. Ὥσπερ τοίνυν, φησίν, ἐγὼ κακῶς μὲν αὐτοὺς οὐ διέθηκα, πάσχω δὲ νῦν ὑπ' ἐκείνων κακῶς, οὕτω μοι κρῖνον ἀδικουμένῳ μάτην καὶ μὴ δικαίως πάσχοντι.

16 «Λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτόν»

41 Βαθυτέραν, φησίν, εἰργάσατο τὴν ἐπιβουλήν[4], ἐκ μεταφορᾶς τὸ δολερὸν καὶ βαθὺ τῆς βουλῆς παραστήσας.

Ψαλμὸς 8

42 Καὶ ἐν τούτῳ τὰ κατὰ τὸν Χριστὸν ἡμῖν προφητεύει ὁ μακάριος Δαβίδ· προαναφωνεῖ γὰρ τῇ τοῦ Πνεύματος ἐνεργείᾳ ὡς ἂν ὑμνήσωσιν αὐτὸν ἐν τῷ ἱερῷ οἱ παῖδες, οἵ τε οἱ ὑπομάζιοι καὶ οἱ ἕτεροι **[653]** νήπιοι[5]. Φασὶ δέ τινες καὶ εἰς τὸν κοινὸν εἰρῆσθαι ἄνθρωπον, ἐν τῇ τῶν Σκηνοπηγίων ἑορτῇ τοῦτον λελέχθαι τὸν ψαλμὸν ὑπὸ τοῦ μακαρίου Δαβὶδ καθὸ ἡ τῶν καρπῶν συγκομιδὴ γίνεται, καὶ διὰ τοῦτο ἐπιγέγραπται πάντα τῶν ληνῶν[6].

---

1. Πρβλ. Δευτ. 25,5-10. Ματθ. 22,24. **2.** Ψαλ. 7,7. **3.** Ψαλ. 7,9. **4.** Πρβλ. Ψαλ. 7,16. **5.** Πρβλ. Ψαλ. 8,3. Ματθ. 21,15-16. **6.** Πρβλ. Ψαλ. 8,1.

5-7 «Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ»

46 Διὰ τοῦτο τοίνυν τὴν μὲν διαφορὰν τοῦ τε Θεοῦ Λόγου καὶ τοῦ ἀναληφθέντος ἀνθρώπου τοσαύτην ἡμῖν δείκνυσιν ὁ ψαλμός· διῃρημένα δὲ ταῦτα ἐν τῇ Καινῇ Διαθήκῃ εὑρίσκεται, τοῦ μὲν Κυρίου ἐφ' ἑαυτὸν λαμβάνοντος τὰ πρότερα τοῦ ψαλμοῦ, ἐν οἷς ποιητήν τε αὐτὸν ‹λέγει› εἶναι τῆς κτίσεως[1] καὶ ἐπῃρμένην ἔχειν ὑπεράνω τῶν οὐρανῶν τὴν μεγαλοπρέπειαν καὶ τεθαυμαστῶσθαι ἐν πάσῃ τῇ γῇ[2], τοῦ δὲ Ἀποστόλου τὰ δεύτερα περὶ τοῦ ἀνθρώπου, τοῦ τῆς τοσαύτης εὐεργεσίας ἀξιωθέντος τοῦ Ἰησοῦ λαμβάνοντος, Πῶς οὐ πρόδηλον ὅτι ἕτερον μὲν ἡμᾶς ἡ θεία Γραφὴ διδάσκει σαφῶς εἶναι τὸν Θεὸν Λόγον, ἕτερον δὲ τὸν ἄνθρωπον, πολλήν τε αὐτῶν οὖσαν δείκνυσιν ἡμῖν τὴν διαφοράν; Ὁ μὲν γὰρ μνημονεύει[3], ὁ δὲ τῆς μνήμης ἀξιοῦται, καὶ ὁ μὲν ἐπισκέπτεται[4], ὁ δὲ καὶ ταύτης **47** ἀξιούμενος μακαρίζεται, καὶ ὁ μὲν εὐεργετῶν ἐλαττοῖ «βραχύ τι παρ' Ἀγγέλους»[5], ὁ δὲ εὐεργετεῖται καὶ ἐπὶ τῇ τοιαύτῃ ἐλαττώσει[6], καὶ ὁ μὲν δόξῃ καὶ τιμῇ στεφανοῖ[7] ὁ δὲ στεφανοῦται[8] καὶ ἐπὶ τούτοις μακαρίζεται, καὶ ὁ μὲν κατέστησεν αὐτόν «ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν»[9] αὐτοῦ καὶ πάντα ὑπέταξεν «ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[10] ὁ δὲ ἠξιώθη τοῦ δεσπόζειν τούτων ὧν πρότερον οὐκ εἶχεν τὴν ἐξουσίαν.

Ψαλμὸς 9

3 «Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί»

50 Μετὰ γὰρ τὴν διήγησιν τῶν σῶν θαυμασίων πρόσεσταί μοι καὶ τὸ εὐφραίνεσθαι ἐπί σοι[11], ἀναμιμνησκομένῳ τῆς σῆς εὐεργεσίας.

---

1. Πρβλ. Ψαλ. 8,4. **2.** Πρβλ. Ψαλ. 8,2. **3.** Πρβλ. Ψαλ. 8,5. Ἑβρ. 2,6 **4.** Ἐνθ' ἀν. **5.** Ψαλ. 8,6. Ἑβρ. 2,7,9. **6.** Πρβλ. Ἑβρ. 2,9. **7.** Πρβλ. Ψαλ. 8,6. Ἑβρ. 2,7. **8.** Πρβλ. Ἑβρ. 2,9. **9.** Ψαλ. 8,7. **10.** Ἑβρ. 2,8. **11.** Πρβλ. Ψαλ. 9,3.

8 «Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ»

52 Σύμμαχος· "ἔδρασε κρίσει τὸν θρόνον αὐτοῦ", τουτέστι βεβαίαν τὴν κρίσιν ταύτην ἐποιήσατο[1] καὶ μεταβολὴν τὰ ὑπ' αὐτοῦ κριθέντα οὐκ ἐπιδέχεται.

10 «Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι»

Ἀντὶ τοῦ καὶ γενήσεται καταφυγή· τοῦτο γὰρ ἡ ἀκολουθία βούλεται, ἐνήλλακται δὲ ὁ χρόνος.

«Βοηθὸς ἐν εὐκαιρίαις ἐν θλίψει»

Εὔκαιρος γὰρ ἡ βοήθεια κατὰ τὸν τῆς θλίψεως γενομένη καιρόν[2].

14 «Ἐλέησόν με, Κύριε, ἰδὲ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου»

53 Κἀνταῦθα πάλιν ἐναλλαγὴ χρόνου· ἀντὶ τοῦ ἠλέησεν γάρ «ἐλέησόν»[3] φησιν. Οὕτως καὶ Ἀκύλας φησίν· 'ἐδωρήσατό μοι Κύριος, εἶδεν κακουχίαν μου'. Τοῦτο δὲ καὶ ἡ ἀκολουθία βούλεται.

«Ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου»

Πύλας «θανάτου» τὸν κίνδυνον καλεῖ, τὸν ἄγοντα ἐπὶ τὸν θάνατον.

16 «Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν, ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν»

54 Οἷς ἐμηχανήσαντο, φησίν, καθ' ἡμῶν οἱ πολέμιοι[4], τούτοις ἑάλωσαν αὐτοί, ἀντὶ τοῦ ἅπερ ἐσπούδαζον καθ' ἡμῶν τοῦτο ἔπαθον αὐτοί.

23-24 «Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός, συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται. Ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται»

56 Ἡ ἀκολουθία τῆς διανοίας ἐστὶν αὕτη «Ἐν τῷ ὑπερηφανεύ-

---

1. Πρβλ. Ψαλ. 9,8. **2.** Πρβλ. Ψαλ. 9,10. **3.** Ψαλ. 9,14. **4.** Πρβλ. Ψαλ. 9,16.

εσθαι τὸν ἀσεβῆ ἐμπυρίζεται ὁ πτωχός»[1], «ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ»[2]· τὸ δέ «συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζον**57**ται»[3] διὰ μέσου εἴρηται, τὰ δὲ διὰ μέσου παρεμβέβληται διὰ τὸ μέτρον. Ἐπειδὴ γὰρ οὐ λογάδην εἴρηται τὰ τῶν Ψαλμῶν, ἀλλὰ μέτρῳ τινί, ὑπὲρ τοῦ σῴζεσθαι τὸ μέτρον, πολλάκις τινὰ ἐντίθεται διὰ τοῦ μέσου, οἷόν ἐστιν μὲν αὐτὸ τοῦτο, — εὑρήσομεν δὲ καὶ ἕτερα. Βούλεται δὲ εἰπεῖν ὅτι ἡ τοῦ ἀσεβοῦς ὑπερηφανία καὶ ἡ εὐπραγία, καὶ τὸ ἐπαινεῖσθαι παρὰ πάντων αὐτὸν ἐφ' οἷς ἀδικῶν ἑτέρους πλουτεῖ, καὶ ἐπὶ τούτοις θαυμάζεσθαι παρὰ τῶν πολλῶν δι' ὧν ἐγκαλεῖσθαι καὶ μισεῖσθαι διὰ τὸν τρόπον προσῆκεν, μειζόνως ἐκτήκει τὸν πένητα· λυπεῖ μὲν γὰρ προηγουμένως ἡ ἀδικία τοὺς πένητας, λυπεῖ δὲ αὐτοὺς μειζόνως τὸ τοὺς ἀδικοῦντας αὐτοὺς μὴ διδόναι δίκας παραχρῆμα, ἀλλ' ἔτι ἐξετάζεσθαι ἐν εὐπραγίᾳ παρὰ πάντων θαυμαζομένας διὰ τὸν περιόντα πλοῦτον ἐξ ἀδικίας. Ἡ οὖν ἀκολουθία τῆς διανοίας αὕτη, τὸ δὲ διὰ μέσου, — τό «συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται» —, περὶ τῶν πλουσίων λέγει· ἐν αὐτοῖς, φησίν, «οἷς διαλογίζονται συλλαμβάνονται», τουτέστιν ὑπ' αὐτῶν τῶν ἰδίων ἐνθυμημάτων κατακρίνονται καὶ συνάγονται καὶ συνωθοῦνται εἰς τὴν τοῦ Θεοῦ ἀπόφασιν.

25 «Κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει»

58 Διὰ τὴν ὑπερβολήν, φησί, τῆς ὑπερηφανίας αὐτοῦ καὶ τοῦ θυμοῦ τοῦ κατὰ τῶν πενήτων, οὐκ ἐκζητεῖ τὸν Δεσπότην[4] οὐδὲ νοεῖ ὅτι ἀπάρεσκον αὐτῷ τὸ γινόμενον.

26 «Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει»

Ἐναλλαγὴ κἀνταῦθα χρόνου, ἀντὶ τοῦ κατακυριεύει[5]· τὸ γὰρ γινόμενον ὑπὸ τοῦ ἀδικοῦντος διηγεῖται, ἀντὶ τοῦ διὰ τοῦτο πάντων κρατεῖ καὶ πάντας ἀφειδῶς ἀδικεῖ. Σαφέστερον δὲ Σύμμαχος εἶπεν· 'πάντας τοὺς ἐχθροὺς αὐτοῦ ἐκφυσᾷ'.

---

1. Ψαλ. 9,23. **2.** Ψαλ. 9,24. **3.** Ψαλ. 9,23. **4.** Πρβλ. Ψαλ. 9,25. **5.** Πρβλ. Ψαλ. 9,26.

34 «Ἕνεκεν τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; Εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἐκζητήσει»

61 Ἐν τούτῳ γὰρ μάλιστα φησίν, «παρώξυνε» τὸν Δεσπότην «ὁ ἀσεβής»[1] ἐν τῷ τολμῆσαι ἐννοῆσαι περὶ αὐτοῦ ὅτι ἐκδίκησιν τῶν ἀδικουμένων οὐ ποιεῖται.

35 «Βλέπεις, ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖράς σου»

[656] Πρωθύστερόν ἐστι τὰ ῥήματα· ἀντὶ γὰρ τοῦ ὅτι βλέπεις, κεῖται «βλέπεις ὅτι». Τοῦτο δὲ ἀπὸ τῆς ἑρμηνείας γεγένηται τοῦ ἑβραϊκοῦ. **62** Ἐπειδὴ γὰρ περὶ τῶν ἀδικούντων εἶπεν τό «Εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ»[2]. «Οὐκ ἐκζητήσει»[3], ἐπήγαγεν τό «Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς»[4], τοῦτο βουλόμενος ὡς πρὸς τὸν Θεὸν εἰπεῖν ὅτι προήχθη δὲ ἐκεῖνος ὁ ἄδικος ταῦτα λογίσασθαι, ὅτι μὴ μέλει σοι περὶ τῶν ἀδικουμένων μηδὲ ἐκζητεῖς τὰ γινόμενα, ἐπειδὴ ὁρῶν αὐτῶν τὴν ὀργὴν καὶ τὴν πονηρίαν οὐχ εὐθὺς ἐξέρχῃ τοῖς γινομένοις, ἀλλά «κατανοεῖς», τουτέστι μένεις ἕως ἂν ἐκ τοῦ πλήθους τῶν ἰδίων κακῶν ἑαυτοὺς ἐκεῖνοι ταῖς σαῖς παραδῶσιν χερσίν, τὸ πλῆθος τῆς οἰκείας ἀδικίας ἐπισπασάμενοι καθ' ἑαυτῶν τὴν τιμωρίαν. Τοῦτο δὲ λέγει ἐκ μεταφορᾶς τῶν μέχρις μὲν ἑνὸς καὶ δευτέρου κακοῦ μὴ ἱσταμένων, τὸ δὲ πλῆθος τῶν γινομένων ἑαυτοὺς ἀγόντων εἰς τὰ δικαστήρια, τὸ τῶν ἀδικουμένων πλῆθος· βούλεται δὲ δεῖξαι τοῦ Θεοῦ τὴν μακροθυμίαν.

36 «Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν»

63 Τοσαύτη γάρ, φησίν, ἐστιν ἡ κατὰ τῶν πενήτων ἀδικία, ὅτι ἐὰν ζητήσῃς καὶ ἐξετάσῃς ‹ὅθεν› γίγνηται τῆς ἁμαρτίας αὐτοῦ ‹αἰτία›, οὐδὲ ὑποστῆναι δυνήσεται δι' αὐτὴν τὴν ἁμαρτίαν αὐτοῦ ζητουμένην[5], — τουτέστιν τῆς ἁμαρτίας αὐτοῦ, διὰ τὸ μεγάλην εἶναι, οὐδὲ τὴν ἐξέτασιν ὑπενεγκεῖν δύναται.

---

1. Ψαλ. 9,34. **2.** Ψαλ. 9,27. **3.** Ψαλ. 9,25. **4.** Ψαλ. 9,35. **5.** Πρβλ. Ψαλ. 9,36.

38 «Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσεν Κύριος»

64 «Ἐπιθυμίαν»[1] ἐνταῦθα ἀντὶ τοῦ τὴν προσευχὴν λέγει, ἐπειδὴ ἅπερ ποθοῦμεν γίγνεσθαι ταῦτα καὶ εὔχεσθαι φιλοῦμεν.

Ψαλμὸς 10

Ὅτε ὑπὸ τοῦ Σαοὺλ ἐδιώκετο[2], τινὲς τῶν συνόντων οἷα εἰκὸς ἐν τοσούτῳ καὶ τηλικούτῳ φόβῳ καὶ κινδύνῳ συνεβούλευον αὐτῷ, φεύγειν τε καὶ μεθίστασθαι τούτου τοῦ ὄρους εἰς ἐκεῖνο καὶ ἀπ' ἐκείνου πάλιν εἰς τὸ ἕτερον, ὡς ἂν μὴ καταληφθεὶς ὑπὸ τοῦ Σαοὺλ ἀναιρεθῇ. Τότε τοίνυν τοῦτόν φησιν τὸν ψαλμόν.

3 «Ὁ δὲ δίκαιος τί ἐποίησεν;»

66 Ἐρωτηματικῶς τι οὖν φησιν πρὸς ταῦτα ὁ «δίκαιος»[3], τουτέστιν ἐγώ, δί**67**καιον ἑαυτὸν ἀπὸ τοῦ πράγματος καλῶν συνήθως.

Ψαλμὸς 11

2 «Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος»

69 «Ὁσίους» ἐνταῦθα καλεῖ τοὺς ἀληθινῇ τῇ διανοίᾳ σῴζοντας τὴν φιλίαν, ὡς ὅσιόν τι καὶ μάλα θαυμαστὸν διαπραττομένους.

«Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων»

Τό «ὠλιγώθησαν»[4] ἀντὶ τοῦ ἐξέλιπον εἶπεν· οὕτω γὰρ καὶ Σύμμαχός φησιν· 'ὅτι ἐκποδὼν ἡ πίστις', ἀντὶ **70** τοῦ οὐκ ἔστι παρ' οὐδενὶ ἡ ἀλήθεια.

3 «Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ»

«Μάταια»[5] ἀντὶ τοῦ δολερά. Κοινῶς δέ «μάταια» οἶδεν ἅπαντα καλεῖν τὰ ἄτοπα ὡς εἰκῇ παρὰ τῶν πραττόντων γινόμενα.

---

1. Ψαλ. 9,38. **2.** Πρβλ. Α' Βασ. κεφ. 19-24. **3.** Ψαλ. 10,3. **4.** Ψαλ. 11,2. **5.** Ψαλ. 11,3.

5 «Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν, παρ' ἡμῶν ἐστιν· τίς ἡμῶν Κύριός ἐστιν;»

71 Λέγουσι γάρ, φησίν, ὅτι ἐπ' ἐξουσίας ἡμῶν ἐστιν ἃ βουλόμεθα φθέγγεσθαι· τίνα γὰρ ἔχομεν Δεσπότην[1], ὃν καὶ δεῖσαι δεῖ; Τοῦτο δὲ ‹οὐχ› ὡς πάντως λεγόντων ἐκείνων φησίν, ἀλλ' ὡς τῷ πράγματι δεικνύντων τὸ οὕτως ἀδεῶς ἅπαντα πράττειν, ὡς οὐκ ὄντος κριτοῦ.

8 «Σύ, Κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα»

73 Τῷ δέ «ἀπὸ τῆς γενεᾶς ταύτης»[2] προσυπακούεται τὸ τῆς πονηρᾶς· οὕτω γὰρ καὶ ἡ ἀκολουθία σῴζεται πρὸς τὰ ἀνώτερα, τουτέστιν ἀπὸ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης τῆς πονηρᾶς.

Ψαλμὸς 12

3 «Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός;»

76 Εἰκὸς ἦν αὐτὸν τούτου μόνον φροντίζοντα τοῦ τὸν Θεὸν ἔχειν καὶ κατηλλαγμένον, ἑκάστοτε διαλογίζεσθαι φοβούμενον ἐν τῇ ψυχῇ· ἆρα κατήλλακταί μοι ὁ Θεός; ἆρα πέπαυται τῆς κατ' ἐμοῦ ὀργῆς, ἢ ὀργίζεται ἔτι; καὶ ὅσα τοιαῦτα. **77** Τοῦτο οὖν φησιν· ἕως πότε τὰ τοιαῦτα ἐνθυμηθήσωμαι καὶ βουλεύσωμαι[3]; Μέχρι ἀποστρέφῃς τὸ πρόσωπόν[4] φησι, τουτέστιν ὀργίζῃ κατ' ἐμοῦ, ἀνάγκη με τὰ αὐτὰ ὑποπτεύειν καὶ ταῦτα λογίζεσθαι.

«Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ;»

Τοῦ Θεοῦ πάσχειν συγκεχωρηκότος διὰ τὴν ἁμαρτίαν, ἰσχυροὶ μὲν ἦσαν οἱ πολέμιοι κατ' [657] αὐτοῦ, πάντες δὲ μετὰ πολλῆς τῆς ἀδείας τὰ δοκοῦντα διετίθεσαν. Ἦσαν δὲ τότε οἱ περὶ τὸν Ἀβεσσαλὼμ πολεμοῦντες αὐτόν. Τοῦτο οὖν φησι· μέχρι πότε οἱ ἐχθροὶ ὑψηλοὶ κατ' ἐμοῦ ἔσονται;

---

1. Πρβλ. Ψαλ. 11,5. **2.** Ψαλ. 11,8. **3.** Πρβλ. Ψαλ. 12,3. **4.** Πρβλ. Ψαλ. 12,2.

Ψαλμὸς 13

4-5 «Οἱ κατεσθίοντες τὸν λαόν μου βρώσει ἄρτου τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. Ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος»

82 Τουτέστιν ὅθεν οὐ προσεδόκησάν τι κακὸν πείσεσθαι, ἐκεῖθεν αὐτοὺς μέγας κίνδυνος περιέστη[1]. **83** Παρὰ πᾶσαν γὰρ προσδοκίαν, οὔτε παρατάξεως, οὔτε πολέμου γεγενημένου, οὔτε πεπτωκότος τινὸς τῶν Ἰσραηλιτῶν, ἄπειρον πλῆθος αὐτῶν διὰ τῆς νυκτὸς εὑρέθη νεκρῶν[2].

6 «Βουλὴν πτωχοῦ κατῃσχύνατε, ὅτι Κύριος ἐλπὶς αὐτοῦ ἐστιν»

«Πτωχοῦ» τοῦ Ἐζεκίου ἐνταῦθα λέγει διὰ τὸ ὀλίγους ἔχειν τοὺς ὑπ᾽ αὐτόν[3]. «Βουλήν» δὲ ἣν συνεβούλευεν τοῖς Ἰουδαίοις, λέγων καταφρονεῖν μὲν ἐκεῖνον, πεποιθέναι δὲ ἐπὶ τὸν Δεσπότην. **84** Ὑμεῖς μέν, φησίν, ἐγελᾶτε τὴν βουλὴν αὐτοῦ, «ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστιν»[4].

7 «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;»

Ἐπειδὴ καὶ τὰς θυσίας ἐν τῷ ὄρει Σιὼν ἀναφέρειν προστεταγμένοι ἦσαν καὶ τὰς προσφορὰς καὶ πᾶσαν αὐτῶν τὴν λατρείαν ἐκεῖ ἐπιτελεῖν ἦσαν νενομοθετημένοι[5], εἶχόν τε δόξαν ὡς ἐκεῖ καὶ τοῦ Θεοῦ τυγχάνοντος, διὰ τοῦτό φησιν· «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;»[6], τουτέστι τίς ἀπὸ τοῦ Σιὼν ὄρους παρέξει τὴν σωτηρίαν καὶ τὴν βοήθειαν ἡμῖν; Ἵν᾽ εἴπῃ ὁ Θεὸς κατὰ ἀποσιώπησιν, ὡς ὁμολογούμενον σημήνας τὸ μηδὲν ἕτερον εἶναι ἐν τῷ Σιὼν τὸ σῴζειν ἀπὸ κινδύνων ἢ Θεὸν μόνον.

Ψαλμὸς 15

90 ‹Ὁ παρὼν ψαλμὸς› ὅμοιός ἐστι τῷ ἐννάτῳ κατὰ τὴν ὑπόθεσιν. Κἀνταῦθα γὰρ ‹ὁ Δαβὶδ› εὐχαριστεῖ ὑπὲρ τῆς τῶν περιοίκων

---

1. Πρβλ. Ψαλ. 13,5. **2.** Πρβλ. Δ′ Βασ. 19,35. Β′ Παρλ. 32,20-22. Ἠσ. 37,36. **3.** Πρβλ. Δ′ Βασ. 18,9-19,34. Β′ Παρλ. 32,1-19. Ἠσ. 36,1-37,35. **4.** Ψαλ. 13,6. **5.** Πρβλ. Ἰω. 4,20. **6.** Ψαλ. 13,7.

ἀναιρέσεως τιμωρηθέντων ὑπὸ Θεοῦ, ὃ δὴ καὶ γέγονεν ἐπ' αὐτοῦ[1]· πολλοὺς γὰρ καὶ μικροῦ πάντας τοὺς περιοίκους ἐτιμωρήσατο διὰ τῆς τοῦ Θεοῦ συμμαχίας.

Ἅπαντα μέντοι τὰ τοῦ ψαλμοῦ ὡς ἐκ προσώπου τοῦ λαοῦ φησιν· ἐπειδὴ γὰρ ἐκείνων ἦν κέρδος ἡ τῶν ἐχθρῶν ἀναίρεσις, ἐκείνους διδάσκει ὅπως αὐτοὺς προσήκει καὶ τίσιν κεχρημένους τοῖς ῥήμασιν εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ τῆς τῶν πολεμίων ἀναιρέσεως.

2 «Εἶπα τῷ Κυρίῳ Κύριός μου εἶ σύ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις»

91 Τουτέστιν Δεσπότην σε εἶναι ἔφην ἐμὸν καὶ χορηγὸν τῶν ὑπαρχόντων μοι ἀγαθῶν καὶ μηδενὸς τῶν παρ' ἐμοὶ χρῄζοντα[2]. Ἐπειδὴ γὰρ πρὸς ἀντιδιαστολὴν τῶν ἐχθρῶν ταῦτα διαλέγεται, εἰκότως τοῦτό φησιν· ὅτι σὺ μὲν κἀμοὶ πλῆθος παρέχεις ἀγαθῶν καὶ τῶν παρ' ἐμοὶ οὐ χρῄζεις, διὰ τοῦτό σε δικαίως Κύριον ἔφην ἐμόν. Οἱ δέ γε τῶν ἐθνῶν ‹θεοὶ› οὔτε ἀγαθόν τι παρέχειν δύνανται, καὶ χρῄζουσι τῆς παρ' ἐκείνων τιμῆς, ἐπειδὴ ταῦτα οἴκοθεν ‹οὐκ› ἔχουσιν.

4 «Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν, μετὰ ταῦτα ἐτάχυναν»

92 Σύμμαχος λέγει 'ἐπληθύνθησαν τὰ εἴδωλα αὐτῶν, εἰς τὰ ὀπίσω ἐτάχυναν'. Τί οὖν βούλεται λέγειν; Ὅτι **93** ἤνθησεν τὰ εἴδωλα αὐτῶν, ὡς καὶ πληθυσμὸν ἐπιδέξασθαι καὶ πολλὴν γενέσθαι τὴν περὶ αὐτὰ θρησκείαν τε καὶ τιμήν, καὶ εἰς τάχος συνετελέσθη. Τοῦ γὰρ Θεοῦ τιμωρησαμένου τοὺς ἀλλοφύλους[3], δῆλον ὅτι καὶ οἱ ναοὶ ὑπὸ τῶν Ἰσραηλιτῶν καθαιρούμενοι κατελαμβάνοντο καὶ τὰ εἴδωλα τὰ ἐν αὐτοῖς συνετρίβετο[4].

6 «Σχοινία ἐπέπεσάν μοι ἐν τοῖς κρατίστοις»

96 Ἐπειδὴ σχοινίοις[5] ἀεὶ μετρεῖσθαι πέφυκεν ἡ γῆ, ὥσπερ δὲ ἕκαστον ἔθνος ἰδίαν εἶχε γῆν ἣν κατῴκει, οὕτω καὶ τῷ λαῷ τῶν

---

1. Πρβλ. Β' Βασ. 5,17-25. Α' Παρλ. 14,8-17. **2.** Πρβλ. Ψαλ. 15,2. **3.** Πρβλ. Β' Βασ. 5,17-25. Α' Παρλ. 14,8-17. **4.** Πρβλ. Β' Βασ. 5,21. Α' Παρλ. 14,12. **5.** Πρβλ. Ψαλ. 15,6.

Ἰσραηλιτῶν, ὥσπερ ἰδίαν τινὰ γῆν ἀπεκλήρωσεν, τὴν τῆς ἐπαγγελίας[1]. Τοῦτο βούλεται λέγειν ὅτι ὥσπερ κατὰ διαμέτρησιν ἐκληρώθη μοι τὸ ἄριστον μέρος τῆς γῆς. Τὸ γὰρ ἔπεσεν ἀντὶ τοῦ ἐκληρώθη ἐκ μεταφορᾶς τῶν κλήρων, ὡς καὶ ἐν ταῖς Πράξεσί φησιν· «καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν»[2].

7 «Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με»

97 Οὐκοῦν εὐχαριστήσω σοι ὑπὲρ ἁπάντων, ὅτι οὐ μόνον γῆν μοι δέδωκας ἐξαίρετον εἰς κτῆσιν, ἀλλ' ὅτι τὴν σύνεσιν παρέσχες[3] καὶ σοφίαν τοῦ πράττειν ἃ δὴ νομοθετήσας περὶ τὴν τῶν πρακτέων καὶ τῶν μὴ τοιούτων.

8 «Ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ»

Προσδεχόμενος ὅτι βοηθεῖ μοι καὶ οὐκ ἐᾷ περιτραπῆναι. Τὸ γάρ «ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ»[4] ἀντὶ τοῦ βοηθεῖ μοι, ἀπὸ τοῦ δεξιοῦ καὶ τοῦ κρείττονος τὴν βοήθειαν καλέσας.

9 «Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου»

98 «Διὰ τοῦτο»[5] ποῖον; Ἐπειδή «προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός»[6], καὶ οὐκ ἀπεσφάλην, φησί, τῶν ἐλπίδων. Ἀλλ' ἐπειδὴ ἀεὶ τὴν παρά σου προσεδεχόμην βοήθειαν, ἔτυχον ὧν ἐζήτουν καὶ ἐν εὐφροσύνῃ κατέστην πολλῇ.

«Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι»

Ἡ «σάρξ μου» ἀντὶ τοῦ ἐγώ, ἐκ τοῦ μέρους τὸ ὅλον καλέσας. Ἔθος γὰρ τῇ θείᾳ Γραφῇ καὶ ἀπὸ τῆς σαρκὸς τὸ ὅλον καλεῖν, καὶ ἀπὸ τῆς ψυχῆς ὁμοίως· ἀπὸ μὲν τῆς σαρκός, ὡς ὅταν λέγῃ ὅτι «Κατέφθειρεν πᾶσαν σὰρξ τὴν ὁδὸν αὐτῆς»[7], ἀπὸ δὲ τῆς ψυχῆς ὡς ὅταν λέγῃ, ἐν οε' ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον[8]. Λέγει δὲ ἐνταῦθα ὅτι καὶ ἐπὶ πλεῖστον μὲν ὁ ἐν τοῖς ἐμοῖς μετὰ πολλῆς τῆς πεποιθήσεως οὐδὲν δεινὸν δεδιὼς ἢ ὑφορώμενος διὰ τὴν εἴς σε ἐλπίδα. Τὸ γάρ «ἔτι» ἀντὶ τοῦ ἐπὶ πλεῖστον.

---

1. Πρβλ. Ἑβρ. 11,9. **2.** Πράξ. 1,26. **3.** Πρβλ. Ψαλ. 15,7. **4.** Ψαλ. 15,8. **5.** Ψαλ. 15,9. **6.** Ψαλ. 15,8. **7.** Γεν. 6,12. **8.** Πρβλ. Γεν. 46,27.

10 «Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾄδην»

99 Κἀνταῦθα πάλιν ἀπὸ τῆς ψυχῆς[1] τὸ ὅλον καλεῖ. Ἀπολαύσω δὲ τούτων φησίν, ἐπειδή με αὐτὸς **[660]** φυλάττων οὐκ ἐᾷς ἐναπολέσθαι τοῖς κινδύνοις.

«Οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν»

Οὐδὲ παραδώσεις με διαφθαρῆναι ὑπ' αὐτῶν. «Ὅσιον» κἀνταῦθα τὸν λαὸν καλῶν πρὸς ἀντιδιαστολὴν ἐκείνων, ὡς ἔχοντα τοῦ Θεοῦ τὴν γνῶσιν.

11 «Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου»

Ἀντὶ τοῦ ἐκ προσώπου σου, τουτέστιν ἐκ τῆς ἐπιφανείας σου καὶ τῆς παρά σου βοηθείας, πληροῦμαι εὐφροσύνης[2].

«Τερπνότητες ἐν τῇ δεξιᾷ σου εἰς τέλος»

Ἐπισημαντέον δὲ κἀνταῦθα ὅτι τοῖς τελευταίοις τοῦ ψαλμοῦ ὁ μα**100**κάριος ἀπόστολος Πέτρος ἐν ταῖς Πράξεσι ὡς περὶ τοῦ Κυρίου εἰρημένοις ἐχρήσατο[3]. Ἰστέον τοίνυν ὅτι κἀνταῦθα κατὰ τὴν αὐτὴν ἔννοιαν ἐξείληπται τῷ μακαρίῳ Ἀποστόλῳ, ἐπειδὴ ἐνταῦθα μὲν προτρεπτικώτερον εἴρηται, κυρίως δὲ καὶ κατὰ τὴν ἀληθῆ ἔννοιαν, τὴν πρὸς τὰ ῥητὰ λέγω τὴν ἔκβασιν ἔχει ἐπὶ τοῦ Κυρίου, ἐφ' οὗ καὶ τῇ μαρτυρίᾳ ἐχρήσατο ὡς τῆς τῶν πραγμάτων ἐκβάσεως ἐπ' αὐτοῦ κυριωτέραν τὴν μαρτυρίαν ἀποφαινούσης.

Ψαλμὸς 16

2 «Ἐκ προσώπου σου τὸ κρῖμά μου ἐξέλθοι»

101 Ἐπιφάνηθί μοι καὶ ποίησαι τὴν κρίσιν τῶν κατ' ἐμέ. Τὸ γάρ «ἐκ προσώπου»[4] ἐκ τῆς ἐπιφανείας λέγει.

6 «Ἐγὼ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου, ὁ Θεός»

103 Ἐναλλαγὴ χρόνου γεγένηται, ἀντὶ τοῦ ἄρον, τοῦ ὅτι ἐπακούεις μοι, «ὅτι ἐπήκουσάς μου»[5] εἶπεν.

---

1. Πρβλ. Ψαλ. 15,10. **2.** Πρβλ. Ψαλ. 15,11. **3.** Πρβλ. Πράξ. 2,25-28. Ψαλ. 15,8-11. **4.** Ψαλ. 16,2. **5.** Ψαλ. 16,6.

7 «Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου»

104 Τουτέστι τῶν ἀνθεστηκότων τῇ βοηθείᾳ σου· ἐπειδὴ γὰρ εἶπεν «Ὁ σῴζων τοὺς ἐλπίζοντας ἐπὶ σοί»[1] τοῖς δὲ ἐλπίζουσιν ἐπ' αὐτῷ αὐτὸς ἐπαμύνει καὶ βοηθεῖ, τοὺς ἀνθεστηκότας τοῖς ἐλπίζουσιν ἐπ' αὐτὸν τῇ αὐτοῦ βοηθείᾳ, — καλῶς ἔφησεν.

10 «Τὸ στέαρ αὐτῶν συνέκλεισαν»

105 Οὕτω, φησίν, εἰσὶν εὐπαθεῖς ὡς μὴ διαδῦναι αὐτῶν τὸν λιπασμόν, ἐπειδὴ γὰρ τὸ συγκεκλεισμένον ἐν ἀσφαλείᾳ πλείστῃ καθέστηκεν. Τοῦτο λέγει τό «συνέκλεισαν»[2] ἀντὶ τοῦ τὴν εὐθηνίαν αὐτῶν ἐν πλείστῃ ἔχουσιν ἀσφαλείᾳ, ὡς μηδὲ προσδοκᾶν αὐτῶν διαπεσεῖν, — ἵν' εἴπῃ ὅτι οὐκ ἀπέβαλον τοῦ βίου τὴν εὐπραγίαν.

11 «Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με»

Οἱ ποτέ φησιν μακαρίζοντες νῦν καταδιώκουσι καὶ περικυκλοῦσιν[3] ὥστε ἀνελεῖν. **106** Οὕτως γὰρ λέγει καὶ Σύμμαχος· 'μακαρίζοντες παραχρῆμα περιεκύκλωσάν με'. «Ἐκβάλλοντας» δὲ τοὺς μακαρίζοντας ἐνταῦθα ἐκάλεσεν, ἐπειδὴ μὴ γνησίᾳ τῇ διανοίᾳ τὸν μακαρισμὸν ἐποιοῦντο τὸ πρότερον, ὥστε δὲ ἐκβαλεῖν καὶ ἐκτρέψαι τῆς προσηκούσης ὁδοῦ, ἀπάτης ἕνεκεν τοῖς τοῦ μακαρισμοῦ ῥήμασιν ἐκέχρηντο.

«Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ»

Πρὸς τοῦτο ἀφορῶσι καὶ πρὸς τοῦτο ἔχουσι πᾶσαν τὴν σπουδήν, ὥστε ἐμὲ τῆς γῆς ἐκβαλεῖν τῆς κληρονομίας[4], τουτέστιν τῆς γῆς «τῆς ἐπαγγελίας»[5].

12 «Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν»

Περιμένουσί με ὥστε ἀνελεῖν, δίκην **[661]** λέοντος θήραν προσδοκῶντος. Ἀντὶ δὲ τοῦ «περιμένουσιν» εἶπεν **107** τό «Ὑπέλαβον»[6], ἐπειδὴ οἱ ὑπολαμβάνοντες ἔσεσθαί τι προσδοκῶσι, — τουτέστι ταύτην ἔχουσι περὶ ἐμοῦ τὴν ὑπόληψιν ὅτι λήψονται ὥσπερ τινὰ θῆρα. Οὕτω καὶ τό «Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός

---

1. Ψαλ. 16,7. **2.** Ψαλ. 16,10. **3.** Πρβλ. Ψαλ. 16,11. **4.** Πρβλ. Ἀριθ. 36,2. Δευτ. 2,12. **5.** Ἑβρ. 11,9. **6.** Ψαλ. 16,12.

σου»[1], τουτέστι περιεμείναμεν καὶ προσεδοκήσαμεν ἔσεσθαί σου ἐν ἡμῖν τὴν φιλανθρωπίαν.

13 «Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς, ῥομφαίαν σου ἀπὸ ἐχθρῶν τῆς χειρός σου»

108 Τινὲς ῥομφαίᾳ σου ἀναγινώσκουσιν, ἐπὶ τῆς δοτικῆς πτώσεως λέγοντες· ἔστι δὲ οὐχ οὕτως, ἀλλὰ ῥομφαίας σου τῇ γενικῇ πτώσει λεγόμενον. Οὕτως γὰρ καὶ Ἀκύλας εἶπε 'μαχαίρας σου'. Ὃ δὲ βούλεται εἰπεῖν τοιοῦτόν ἐστιν· Ῥῦσαι τὴν ψυχήν μου, τουτέστιν ἐμέ, ἀπὸ τούτων τῶν ἀσεβῶν καὶ ἀπὸ τῆς ῥομφαίας τῶν ἐχθρῶν τῆς χειρός σου[2].

«Ῥομφαίαν» γὰρ καλεῖ τὴν κατ' αὐτοῦ γινομένην ὑπ' αὐτῶν μηχανὴν πάσης μαχαίρας κατ' αὐτοῦ τμητικωτέραν τὴν ἐπιβουλὴν ἐργαζομένην, «ἐχθροὺς δὲ τῆς χειρός» τοῦ Θεοῦ καλεῖ τοὺς ἐχθροὺς τοὺς αὐτοῦ, ἐπειδὴ τὸν ὑπ' αὐτοῦ χρισθέντα εἰς βασιλέα ἑλεῖν ἐσπουδακότες, αὐτῷ δῆλοι ἦσαν ἐχθραίνοντες τῷ Θεῷ καὶ τοῖς ὑπ' αὐτοῦ γενομένοις ἀνθίστασθαι ἐσπουδακότες.

14 «Κύριε, ἀπολύων ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν, ἐχορτάσθησαν υἱῶν καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν»

109 Τὸ μὲν οὖν «ἀπολύων ἀπὸ τῆς γῆς»[3] εἶπε πρὸς τὸν Θεόν, ὡς ἂν αὐτοῦ τὴν τοῦ θανάτου ἀπόφασιν κατὰ τῶν ἀνθρώπων ἐξενέγκαντος, ἵν' εἴπῃ ὅτι σὺ ὁ πάντας ἀποθνήσκειν ποιῶν. Τὸ δέ «διαμέρισον» ἀντὶ τοῦ διασκόρπισον, ἀπὸ τοῦ τὸ σκορπιζόμενον πάντως τῇδε κἀκεῖσε μερίζεσθαι. Τὸ δέ «τῶν κεκρυμμένων» ἀντὶ τοῦ τῶν τιμωριῶν σου ὧν ἔχεις ἐν ἀποκρύφῳ, ἃς ὅτε θέλεις ἐκφέρεις τιμωρούμενος ἀπροσδοκήτως τοὺς ἀνθρώπους καὶ ὡς οὐκ ἴσασιν.

Τὸ δέ «ἐχορτάσθησαν υἱῶν», ἀντὶ τοῦ χορτασθήτωσαν δὲ καὶ οἱ υἱοί· ἐνήλλακται γὰρ συνήθως ὁ χρόνος. Καὶ τό «ἀφῆκαν», ὁμοίως ἀντὶ τοῦ ἀφέτωσαν. Τοῦτο οὖν βούλεται συντόμως εἰπεῖν

---

1. Ψαλ. 47,10. **2.** Πρβλ. Ψαλ. 16,13. **3.** Ψαλ. 16,14.

ὅτι σύ, ὦ Δέσποτα, ὡς πάντας ἀνθρώπους τῇ κοινῇ ἀποφάσει τοῦ θανάτου ἀπολύεις ἐκ τῆς γῆς, αὐτὸς καὶ τούτους ἐν τῇ ζωῇ αὐτῶν «διαμέρισον», τουτέστι διασκόρπισον αὐτοὺς ἔτι ζῶντας, ἵνα πρὸ τοῦ κοινοῦ θανάτου ἐφ' οἷς διαπράττονται ὑπομείνωσί τινα τιμωρίαν, καὶ τῶν τιμωριῶν δὲ τῶν **110** σῶν οὕτω πλήρωσον αὐτῶν καὶ τὰ ἐνδότατα ὡς πληρωθῆναι μὲν τῆς παρά σου τιμωρίας μετὰ αὐτῶν, καὶ τοὺς υἱοὺς τοὺς αὐτῶν ἐνεχθῆναι δὲ μέχρι καὶ τῶν ἐγγόνων τῆς τιμωρίας τὰ λείψανα. Βούλεται δὲ εἰπεῖν ὅτι τιμώρησαι αὐτούς, μήτε αὐτῶν μήτε τῶν υἱῶν μήτε τῶν ἐγγόνων φεισάμενος. Κεκρυμμένας καλέσας τὰς τιμωρίας διὰ τὸ μὴ πάντοτε, ἀλλ' ἐν καιρῷ τῷ δέοντι αὐταῖς κατακεχρῆσθαι, ἐκ μεταφορᾶς τῶν ἐν θησαυροῖς ὄντων, ἅπερ κέκρυπται μὲν ἐν ταῖς ἀποθήκαις ὄντα, ἐκφέρεται δὲ καὶ εἰς φανερὸν ἄγεται ὅταν ἡ χρεία συνελαύνει τοὺς κεκτημένους.

15 «Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου, χορτασθήσομαι ἐν τῷ ὀφθῆναι τὴν δόξαν σου»

111 Τουτέστιν ἐκεῖνοι μέντοι τοιαῦτα διαπραξάμενοι ταύτης δίκαιοι τιμωρίας ἀπολαῦσαι, «ἐγώ» δὲ μετὰ δικαιοσύνης σοὶ φανείς, τουτέστιν οὐδὲν ἄδικον εἰς αὐτοὺς διαπραξάμενος, πληρωθήσομαι τῆς σῆς βοηθείας καὶ ἀπολαύσω τῆς δόξης σου παρὰ σοῦ[1].

Ψαλμὸς 17

6 «Προέφθασάν με παγίδες θανάτου»

112 Τὸ δέ «προέφθασάν με»[2] τοιοῦτόν τι λέγειν βούλεται· τοσαῦται, φησίν, καὶ τοιαῦται κατ' ἐμοῦ τῶν ἐχθρῶν ἐπιβουλαὶ γεγόνασι, ὡς προφθάσαι μου καὶ τὸν λογισμὸν καὶ μηδὲ καιρὸν ἐνδοῦναί μοι καὶ κατανόησιν καὶ πρὸς τὸ ἀφιδεῖν τίνι δὲ τρόπῳ τὴν φυγὴν τὴν ἐξ αὐτῶν πορίσασθαι.

8 «Καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν»

113 Ἵν' εἴπῃ ὅτι τοῦ Θεοῦ ἀκούσαντος καὶ συγκινηθέντος εἰς ὀργήν, πρῶτον μὲν ἅπαντα ἐσαλεύετο, γῆ τε καὶ ὄρη[3], εἶτα ἐδεί-

---

1. Πρβλ. Ψαλ. 16,15. **2.** Ψαλ. 17,6. **3.** Πρβλ. Ψαλ. 17,8.

χθη καπνὸς τῆς ὀργῆς αὐτοῦ[1] τὸ προοίμιον, καὶ μετὰ τοῦτο πῦρ ἀνήφθη[2], τουτέστι φανερῶς ὀργιζόμενος ἐδείχθη διὰ τῆς κατὰ τῶν ἐχθρῶν τιμωρίας. Εἶτα βουλόμενος καὶ τῆς τιμωρίας τὴν ἐπίτασιν εἰπεῖν, τῇ ἀκολουθίᾳ τῆς οἰκείας χρησάμενος σωματοποιήσεως ἐπήγαγεν·

9 «Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ»

Ἐπειδὴ γὰρ πῦρ ἀεὶ καλεῖ τοῦ Θεοῦ τὸ τιμωρητικόν, καὶ ἔθος αὐτῷ τοῦτο σχηματίζειν ὡσανεὶ πυρὸς προτρέχοντος καὶ προσδεικνύοντος αὐτοῦ τοῦ Θεοῦ τὴν κατὰ τῶν ἐχθρῶν ὀργήν, ὡς ὅταν λέγῃ πῦρ ἐνώπιον αὐτοῦ προπορεύεται[3], τῇ αὐτῇ συνηθείᾳ κἀνταῦθα κεχρημένος εἰσάγει ὡσανεὶ πυρὸς δειχθέντος πρὸ τοῦ Θεοῦ καὶ σημαίνοντος τὴν ὀργὴν αὐτοῦ τὴν κατὰ τῶν ἐχθρῶν. Ἀκόλουθον οὖν ἑαυτῷ κατὰ τὴν σωματοποίησιν εἶπεν τό «Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ»[4], ἐπειδὴ καπνὸς ἀεὶ προτρέχων σημαίνει τοῦ πυρὸς τὴν ἔκκαυσιν. Διὸ μνημονεύσας τοῦ καπνοῦ ἀκολούθως ἐπήγαγεν·

«Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ»

Πυρὸς γὰρ ἐπὶ πολὺ γενομένου, **[664]** ἄνθρακας ἐπὶ πολὺ γενέσθαι συμβαίνει, δι' ὅλων βουληθεὶς εἰπεῖν ὅτι ἅμα τε ἤκουσεν εὐξαμένου, καὶ ἐκινήθη κατὰ τῶν ἐχθρῶν καὶ εὐθὺς μὲν πάντα ἐσαλεύετο. Ὑπεφαίνετο δὲ αὐτοῦ κατὰ μέρος καὶ διὰ τῶν πραγμάτων ἡ ὀργή, νῦν μὲν ἀρχομένου τιμωρεῖσθαι τοὺς πολεμίους, προϊόντος δὲ καὶ σφοδρότερον αὐτοὺς κολάζοντος, εἶτα τῆς παραμονῆς καὶ παντελῶς αὐτοὺς ἀφανίζοντος· τότε γὰρ ἔθος ἐστὶν ἀποτελεῖσθαι τοὺς ἄνθρακας, ἐπειδὰν τὸ πῦρ ἐπὶ πλεῖον γινόμενον τὰς ὑποκειμένας ὕλας καταφλέξῃ τῶν ξύλων.

10-12 «Καὶ ἔκλινεν οὐρανὸν καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ Χερουβεὶμ καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ, σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων»

114 Ἀλλ' ὅταν ἀπὸ τοῦ σχηματισμοῦ ἴδῃ τινὰ ἀπρέπειαν ὑπερφαινομένην ἢ ταπεινότητα, τῇ παρενθέσει τῶν ἐν μέσῳ, πά-

---

1. Πρβλ. Ψαλ. 17,9. **2.** Ἔνθ' ἀν. **3.** Πρβλ. Ψαλ. 96,3. **4.** Ψαλ. 17,9.

λιν αὔξει τὸν λόγον, οἷον εἶπεν ὅτι κατέβη ἐκ τῶν οὐρανῶν καὶ εἶχεν γνόφον ὑπὸ τοὺς πόδας αὐτοῦ[1]· ἐπειδὴ τοίνυν ταπεινή τις ἐντεῦθεν ὑπεφαίνετο ἡ παρουσία, παρενέθηκε τό «ἐπέβη ἐπὶ Χερουβείμ»[2] δεικνὺς αὐτὸν ὡς βασιλέα ἐφ' ἅρματος ὀχούμενον καὶ οὕτως παραγινόμενον. Εἶτα τῆς ἀκολουθίας λαβόμενος, πάλιν εἶπεν τό «Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ»[3] ἀκόλουθον ὂν τό «καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ»[4]. Ἀλλ' ἐπειδὴ πολὺν περὶ τοῦ σκότους ἐποιήσατο τὸν λόγον, ὡς ὄντος «ὑπὸ τοὺς πόδας αὐτοῦ» καὶ ἀποκρύπτοντος αὐτούς, ἐδόκει δέ τις ἀπρέπεια ἐγγίνεσθαι τῷ σχηματισμῷ, ἀσφαλιζόμενος τὸ ὑποπίπτον, «κύκλῳ αὐτοῦ», φησίν, «ἡ σκηνὴ αὐτοῦ».

Ἀλλὰ τὸ μέν «σκότος», φησίν, κατὰ τῶν ἐχθρῶν προὐβέβλητο, ἀποκρύπτων αὐτὸν καὶ οὐδὲ ὁρᾶσθαι τοῖς ἐναντίοις ποιοῦν. Περὶ αὐτὸν δέ «ἡ σκηνὴ αὐτοῦ» ἦν, ἵν' εἴπῃ τὸ φῶς, ὡς καὶ ὁ μακάριος Παῦλος περὶ αὐτοῦ φησιν «φῶς οἰκῶν ἀπρόσιτον»[5]. Τῆς δὲ αὐτῆς ἐννοίας ἔχεται ἀμφότερα· ὥσπερ **115** γὰρ φῶς οἰκεῖν λέγεται, οὕτω καὶ ἡ σκηνὴ τοῦ Θεοῦ λέγοιτο ἂν κυρίως τὸ φῶς. Παρεντεθεικὼς τό «κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ», πάλιν ἀκολούθως τοῖς προηγουμένοις (τό «καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ») ἐπήγαγεν «σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων»· ἀκόλουθον γὰρ ἦν τό «γνόφος» καί «σκότος»· συνέχεεν γάρ, φησίν, ἅπαντα τὸν ἀέρα καὶ ἐζόφωσεν καὶ ἦν τὰ πάντα σκότος καὶ γνόφος, ἀπὸ τοῦ περὶ τὸν ἀέρα γιγνομένου σχηματίσας τοῦ Θεοῦ τὴν ὀργήν· ἡ γὰρ τοῦ ἀέρος συστροφὴ πάντως ζόφον ἐργάζεται, γνόφος τε καὶ σκότος. Διὸ καλῶς εἶπεν «σκοτεινὸν ὕδωρ ἐν νεφέλαις»· ἀνάγκη γὰρ τὸ τοιοῦτον εἶναι καὶ τὸ ὕδωρ ἐν ταῖς νεφέλαις μελανθείσαις τῇ τοῦ ἀέρος συστροφῇ.

Ψαλμὸς 26

2 «Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας τοῦ φαγεῖν τὰς σάρκας μου»

129 [665] Ἡνίκα οὖν πλησίον οὗτοι γεγόνασιν, ὡς καὶ ἀπο-

---

1. Πρβλ. Ψαλ. 17,10. **2.** Ψαλ. 17,11. **3.** Ψαλ. 17,12. **4.** Ψαλ. 17,10. **5.** Α' Τιμ. 6,16.

γευσάμενοί μου τῶν σαρκῶν· τοῦτο γὰρ βούλεται εἰπεῖν τό «τοῦ φαγεῖν τὰς σάρκας μου»[1], ὥστε δεῖξαι αὐτῶν τὴν ὠμότητα καὶ τὴν ὀργὴν μεθ' ἧς ὥρμουν ἐπ' αὐτούς. Τὸ **130** δέ «ἐγγίζειν», ἀντὶ τοῦ ἡνίκα οὕτω πλησίον γεγόνασιν, ὡς μηδὲν ἐλλείπειν πρὸς τὴν ἐκπλήρωσιν τῆς προθέσεως αὐτῶν. Καλῶς δὲ αὐτούς «κακοῦντας» ἐκάλεσεν, ὡς διὰ τὴν προσοῦσαν αὐτοῖς ἰσχὺν ἅπαντας μυρίοις περιβαλόντας κακοῖς.

«Οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου αὐτοὶ ἠσθένησαν καὶ ἔπεσαν»

Καλῶς τό «αὐτοί», ὅτι ἡμᾶς μὲν ἠδίκησαν οὐδέν· ἔπαθον δὲ ταῦτα «αὐτοί» ἅπερ ἡμᾶς διαθεῖναι προσεδόκων. Ἐμφαντικώτερον δὲ τό «ἠσθένησαν καὶ ἔπεσαν»..., ἀντὶ τοῦ οὐχ ὑπὸ πολεμίων ἀνῃρέθησαν, οὐδὲ ὑπὸ ἀνθρώπων ἔπαθόν τι δεινόν, ἀλλὰ παραδόξως ἄνευ πάσης ἀνθρωπείας χειρὸς ἐξαίφνης εἰς ἀσθένειαν τῇ τοῦ Θεοῦ κατηνέχθησαν τιμωρίᾳ.

3 «Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω»

Ὅτι ἀπόδειξιν ἔχων αὐτάρκη τὰ γεγονότα τῆς τοῦ Θεοῦ βοηθείας, παρεμβολῆς ὅλης κινηθείσης καὶ πολέμου, δέδοικα οὐδένα, «ταύτῃ» πεποιθὼς τῇ τοῦ Θεοῦ συμμαχίᾳ. Τὸ δέ «ἐν ταύτῃ»[2], τουτέστι τῇ βοηθείᾳ καὶ τῇ συμμαχίᾳ τοῦ Δεσπότου.

5 «Ὅτι ἔκρυψέ με ἐν σκηνῇ ἐν ἡμέρᾳ κακῶν μου»

Ὥσπερ τινὶ σκηνῇ τῇ οἰκείᾳ σκεπάσας βοηθείᾳ, μετὰ πολλῆς με τῆς ἀσφαλείας ἐφύλαξεν. Σκηνὴν γὰρ τοῦ Θεοῦ καλεῖ τὴν βοήθειαν ὡς σκεπάσασαν αὐτὸν ἀπὸ τῶν κακῶν, τὸ δέ «ἔκρυψεν» ἀντὶ τοῦ ἐφύλαξεν, ἀπὸ τοῦ κατακρύπτειν ἀεὶ τοὺς βουλομένους τι φυλάττειν. «Ἐν ἡμέρᾳ» δὲ τῶν «κακῶν μου», ἐν τῷ καιρῷ τῆς συμφορᾶς, ὅτε πολλῶν προσεδόκησα πειραθήσεσθαι κακῶν.

«Ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς αὐτοῦ»

[Σκηνὴν καλεῖ τοῦ Θεοῦ τὴν βοήθειαν]. Καὶ εἰπὼν ὅτι ὡς «ἐν σκηνῇ» με κρύψας ἐφύλαξας, ἐπήγαγε τό «ἐν ἀποκρύφῳ τῆς

1. Ψαλ. 26,2. **2.** Ψαλ. 26,3.

σκηνῆς αὐτοῦ»[1], τὸ ἀσφαλέστατον τῆς βουλῆς τοῦ Θεοῦ σημᾶναι βουλόμενος. «Ἐν πέτρᾳ ὕψωσέ με»[2], τῆς αὐτῆς ἔχεται ἀκολουθίας.

6 «Καὶ νῦν ἰδοὺ ὕψωσεν τὴν κεφαλήν μου ἐπ' ἐχθρούς μου»

131 Τὸ δέ «καὶ νῦν ἰδού»[3] ἐκ τοῦ ἑβραϊκοῦ ἐπισέσυρται. Βούλεται γὰρ εἰπεῖν καὶ νῦν ἀνώτερόν με πεποίηκε τῶν ἐχθρῶν· τοῦτο γὰρ λέγει «τὴν κεφαλήν μου». Τὸ ὕψωσας ἀντὶ τοῦ ὑψωθήσεται.

10 «Ὁ δὲ Κύριος προσελάβετό με»

Ὑπὸ δέ σου, φησί, προσελήφθην[4] καὶ ἐπαιδεύθην τὴν εὐσέβειαν, — ἵνα μὴ δόξῃ τὴν γνῶσιν τῆς εὐσεβείας τῇ ἑαυτοῦ ἐπιγράφειν προθέσει, ἀλλὰ τῇ τοῦ Θεοῦ χάριτι. Ταῦτα μέντοι ὅλα φησὶν ἀκολούθως ὅτι ἐρῶ ἐν τῷ τὸ θυσιατήριον κυκλοῦν[5], τοῦτο βουλόμενος εἰπεῖν ὅτι καὶ ὑπὲρ τῶν παρελθόντων εὐχαριστήσω καὶ περὶ τῆς ἑξῆς βοηθείας σου δεηθήσομαι, πρὸς ἕτερον δὲ οὐ βλέψω οὔτε μὴν παρ' ἑτέρων τῶν καλῶν ἐκδέξομαι.

12 «Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με»

Κἂν ἐγώ, φησί, μὴ ἄξιος ὦ τοῦ τυχεῖν τῆς παρά σου βοηθείας, ἀλλὰ διὰ τοὺς ἐχθροὺς μὴ ἐάσῃς με αὐτοῖς παραδοθῆναι, μὴ δὲ παθεῖν τὰ ἐκείνοις περισπούδαστα. Τοῦτο γάρ ἐστι τό «εἰς ψυχάς»[6], τούτοις τοῖς βουλήμασιν αὐτῶν «μὴ παραδῷς με» καὶ ταῖς ἐπιθυμίαις.

Ψαλμὸς 29

3 «Κύριε ὁ Θεός μου, ἐκέκραξα πρὸς σέ, καὶ ἰάσω με»

136 Ἀντὶ τοῦ ἐκέκραξα καὶ ἐδεήθην· ἐνήλλακται γὰρ κἀνταῦθα ὁ χρόνος. Ἐν τούτοις οὖν φησιν ὑπὸ τῆς ἀῤῥωστίας καταστὰς καὶ γνοὺς ἐκ τῶν συμβεβηκότων τὴν τῆς φύσεως ἀσθένειαν, ἔγνων ὅτι «πρός σε»[7] δεῖ βοῆσαι καί σου δεηθῆναι καὶ παρά σου τὴν βοήθειαν ἐκλέξασθαι.

---

1. Ψαλ. 26,5. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 26,6. **4.** Πρβλ. Ψαλ. 26,10. **5.** Πρβλ. Ψαλ. 25,6. **6.** Ψαλ. 26,12. **7.** Ψαλ. 29,3.

10 «Τίς ὠφέλεια ἐν τῷ αἵματί μου;»

Ἀντὶ τοῦ ταῦτα ἔλεγον· ἐὰν ἀποθάνω τί τὸ ὄφελος[1]; Ἀποθανὼν γὰρ διαφθείρομαι, τέφρα γινόμενος καὶ σποδός.

13 «Καὶ οὐ μὴ κατανυγῶ»

137 Εἰπὼν «οὐ μὴ κατανυγῶ»[2], ἀντὶ τοῦ οὐ μεταγνώσομαι ἐπὶ τῇ ψαλμωδίᾳ,ἐπήγαγεν «εἰς τὸν αἰῶνα ἐξομολογήσομαί σοι»[3], τουτέστι διατελέσω σοι ἀπαύστως εὐχαριστῶν, «αἰῶνα» καλῶν τὸν τῆς οἰκείας ζωῆς χρόνον.

Ψαλμὸς 30

3 «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν»

Ὑπεράσπισον καὶ ἐπάμυνον ἐν τοῖς κακοῖς. Ἰδίωμα δὲ τοῦτο ἑβραϊκόν, ἀντὶ τοῦ ὑπεράσπισον λέγειν «γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν»[4], ὡς καὶ ἀλλαχοῦ «Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν»[5], ἀντὶ τοῦ κατέφυγον ἐπ' αὐτόν.

5 «Ἐξάξεις με ἐκ παγίδος ταύτης, ἧς ἔκρυψάν μοι»

[668] Παγίδα[6] ἐκάλεσε τὴν αἰχμαλωσίαν ἐφ' ᾗ συνείληπτο, ὥσπερ εἴς τινα κίνδυνον προφανῆ. Τὸ δέ «ἧς ἔκρυψάν μοι» ἀκολούθως εἶπεν τῷ παραδείγματι, ἐπειδὴ παγίδα τὴν αἰχμαλωσίαν ἐκάλεσεν. Ἴδιον δὲ τῆς παγίδος τὸ λανθανόντως τίθεσθαι κρυπτομένην, οὕτω τε ἀπροόπτως λαμβάνειν τοὺς θηρωμένους.

6 «Ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας»

138 Ἐντεῦθεν προφητεύει τὴν ἀπαλλαγὴν τῆς αἰχμαλωσίας. Καλῶς δὲ ἐν αἰχμαλωσίᾳ καὶ δουλείᾳ κατεχόμενος, ἀντὶ τοῦ ἀπήλλαξάς με εἶπεν «ἐλυτρώσω με»[7], ἐκ μεταφορᾶς τῶν δῶρα διδόντων καὶ οὕτως ἐξαιρουμένων τοὺς ἐν ταῖς δουλείαις κατεχομένους· λύτρα γὰρ λέγεται τὰ τοιαῦτα δῶρα. Τὸ δέ «ὁ Θεὸς τῆς ἀληθείας», ἀντὶ τοῦ ὁ πάντα ἀληθῶς καὶ δικαίως διαπραττόμενος.

---

1. Πρβλ. Ψαλ. 29,10. **2.** Ψαλ. 29,13. **3.** Ἔνθ' ἀν. **4.** Ψαλ. 30,3. **5.** Ψαλ. 93,23. **6.** Πρβλ. Ψαλ. 30,5. **7.** Ψαλ. 30,6.

7 «Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διὰ κενῆς»

Διὰ τοῦτο γάρ, φησίν, ἡμᾶς δικαίως ἀπήλλαξας, ἐπειδὴ ἐκείνους ἐμίσησας καὶ ἀπεστράφης τοὺς μετὰ πολλῆς ἐπιμελείας τὰ ἄτοπα διαπραττομένους· οὐ γὰρ ἀπὸ συναρπαγῆς διαπράττονται τὸ κακόν, ἀλλ' ὥσπερ τι ἀναγκαῖον τοῦ κακοῦ φυλάττουσι τὴν πρᾶξιν (τοῦτο γὰρ σημαίνει τό «διαφυλάσσοντας»[1]). «Ματαιότητα» δὲ λέγει τὰς ἀτόπους πράξεις. Τὸ δέ «διὰ κενῆς», ὅτι οὐδὲν ὠφελοῦνται ἐκ τῆς περὶ τὸ κακὸν πράττειν ἐπιμελείας, διὰ τὸ μισεῖν αὐτοὺς καὶ τιμωρεῖσθαι καὶ μὴ ἐᾶν εἴς τι πέρας ἄγειν αὐτοῖς τὸ σπουδαζόμενον.

Ψαλμὸς 32

142 Τὴν ἐπὶ τοῦ μακαρίου Ἐζεκίου παρασχεθεῖσαν νίκην τοῖς Ἰσραηλίταις ὑπὸ τοῦ Θεοῦ, διὰ τῆς παραδόξου τῶν Ἀσσυρίων ἀναιρέσεως[2], προφητεύων ἐν τούτῳ τῷ ψαλμῷ ὁ μακάριος Δαβίδ, ὥσπερ τινὰ ἐπινίκιον ὕμνον ἐπὶ τοῖς γεγενημένοις αὐτῷ ἀνεβόησε, τὸ σύνηθες αὐτῷ κἀντεῦθεν διαπραττόμενος, καὶ ἀπὸ τῆς κατὰ τοὺς Ἀσσυρίους ὑποθέσεως τρεπόμενος μὲν εἰς καθολικὴν ὑμνῳδίαν τοῦ Δεσπότου καὶ ἐξήγησιν τῶν ὑπ' αὐτοῦ γεγονότων, παιδεύων δὲ πάντας μὴ ἐπὶ τοῖς παροῦσι μεγάλοις πεποιθέναι, ἀλλὰ πάντων ἡγεῖσθαι δυνατωτέραν τὴν τοῦ Θεοῦ βοήθειαν. Τοῦτο γὰρ μάλιστα ἀφορᾶν ἐν τοῖς Ψαλμοῖς προσήκει, ὅτι ἐκ τῶν ὑποθέσεων ἐπὶ κατηχητικὴν τρέπεται παραίνεσιν, διαφόρως ταύτην ποιούμενος καὶ τοῖς ἀκροαταῖς ὠφελίμως, ὥστε ἀναγκαῖον μὲν ἡμῖν εἰδέναι τὰς ὑποθέσεις πρὸς γνῶσιν τῆς τῶν **[669]** Ψαλμῶν δυνάμεως, προσεκτέον δὲ καὶ τοῖς λοιποῖς, οἷς ἐκ τῶν ὑποθέσεων κέχρηται πρὸς τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν.

1 «Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ Κυρίῳ»

«Δικαίους» ἐνταῦθα καλεῖ τοὺς Ἰουδαίους, οὐκ ἀπὸ τῆς τοῦ βίου ἀρετῆς, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ γνώσεως. Εἰκότως δὲ εἰπὼν τό «Ἀγαλλιᾶσθε»[3] προσέθηκε τό «ἐν Κυρίῳ». Ἐπειδὴ γὰρ ἐν

---

1. Ψαλ. 30,7. **2.** Πρβλ. Δ' Βασ. 19,35. Β' Παρλ. 32,20-21. Ἠσ. 37,36. **3.** Πρβλ. Ψαλ. 32,1.

τοῖς ἀνθρωπίνοις εὐτελεῖς ἦσαν καὶ ταπεινοὶ καὶ πρόχειροι τοῖς Ἀσσυρίοις πρὸς ἅλωσιν, πολλοῖς τε οὖσι καὶ ἰσχυροῖς καὶ ἐμπειρίᾳ πολεμικῇ κεκοσμημένοις, «ἐν τῷ Κυρίῳ» τὴν ἀγαλλίασιν αὐτοῖς προσευαγγελίζεται, οὗ τῇ βοηθείᾳ παραδόξως τετυχήκασι τῆς σωτηρίας, οὐχ ἐν πολέμῳ καὶ παρατάξει ἀλλὰ μόνῃ τῇ τοῦ Θεοῦ πληγῇ τῶν Ἀσσυρίων ἀναιρεθέντων[1].

«Τοῖς εὐθέσι πρέπει αἴνεσις»

143 Καλὴ ἡ ἐπαγωγὴ τοῦ ῥητοῦ καὶ μάλιστα τῶν ἑξῆς ἕνεκεν. Ἐπειδὴ γὰρ τὴν εὐφροσύνην αὐτοῖς ευἠγγελίσατο, ἤμελλε δὲ ἐπὶ τὴν ὑμνῳδίαν καὶ τὴν ὑπὲρ τῶν γεγονότων εὐχαριστίαν προτρέπειν, ἑξῆς βουλόμενος αὐτοὺς ἐμφόβους πρὸς τὸ πρᾶγμα καταστῆσαι, ὥστε μετὰ τῆς προσηκούσης γνησιότητος ἀναπέμπειν τὴν ὑμνῳδίαν καὶ τὴν εὐχαριστίαν τῷ Θεῷ τελεῖν, προλαβὼν «τοῖς εὐθέσι», φησίν, τὴν αἴνεσιν πρέπειν, ἵνα ἀκούσαντες ὅτι μὴ πάντων ἐστὶν ὑμνεῖν τὸν Θεόν, ἀλλὰ μόνων τῶν μεθ' εὐθύτητος λογισμῶν τοῦτο ποιουμένων, οἷς καὶ πρέπον ἐστὶ τὸ ὑμνεῖν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς, ἐπείπερ καὶ τοῦ τυχεῖν αὐτῶν ἄξιοι καθεστήκασι μετὰ πολλῆς εὐλαβείας προσέλθωσι τῇ τοῦ Θεοῦ ὑμνῳδίᾳ.

2 «Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ»

Ὥσπερ προοιμιασμένος τὰ ἀνώτερα καὶ πρότερον μὲν εὐαγγελισάμενος τὴν εὐφροσύνην, μετὰ δὲ ταῦτα καταρτίσας πρὸς τὴν ὑμνῳδίαν τῇ ἐπαγωγῇ τοῦ ἑξῆς ῥητοῦ, ἐντεῦθεν λοιπὸν ἐπ' αὐτὴν προτρέπεται τὴν ὑμνῳδίαν καί φησιν, «Ἐξομολογεῖσθε τῷ Κυρίῳ ἐν κιθάρᾳ»[2]. «Ἐξομολογεῖσθε» δὲ εὐχαριστεῖτε λέγει· τὸ δέ «ἐν κιθάρᾳ» κατὰ τὴν τότε συνήθειαν, ἐπειδὴ τοιούτοις ὀργάνοις ἐκέχρηντο πρὸς τὴν τοῦ Θεοῦ ὑμνῳδίαν.

«Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ»

Ἑτέρου πάλιν ὀργάνου μνημονεύει, ᾧπερ ἐκέχρηντο πρὸς τοῦτο, τῷ διαφόρῳ τῶν ὀργάνων σεμνοπρεπεστέραν τὴν ὑμνῳδίαν ἐργαζόμενος.

---

1. Πρβλ. Δ' Βασ. 19,35. Β' Παρλ. 32,20-21. Ἡσ. 37,36. **2.** Ψαλ. 32,2.

3 «Ἄσατε αὐτῷ ᾆσμα καινόν»

Ἐπειδὴ σύμφωνον ἀνάγκη τῷ πράγματι εἶναι τὸ ᾆσμα, καινὸν παρακελεύει ᾆσμα ᾀσθῆναι τῷ Θεῷ[1] ὡς ἐπὶ καινῷ καὶ παραδόξῳ πράγματι καὶ παρὰ τὴν κοινὴν τῶν ἀνθρώπων συνήθειαν γεγενημένῳ.

«Καλῶς ψάλατε ἐν ἀλαλαγμῷ»

144 Σύμμαχος 'ἐπιμελῶς ψάλατε', σαφέστερον αὐτὸ λέγων. Τοῦτο γὰρ βούλεται εἰπεῖν· «καλῶς», μετὰ προσηκούσης ἐπιμελείας ἐπιτελεῖσθε τὸ πρᾶγμα. Εὐκαίρως δὲ εἶπεν «ἐν ἀλαλαγμῷ»· ἀλαλαγμὸς γὰρ λέγεται κυρίως ἡ βοὴ ἣν ἐν τοῖς πολέμοις εἴωθεν ἀφιέναι ὁ στρατὸς ὁπόταν ἢ πολεμίους διώκῃ τρέψας εἰς φυγὴν ἢ πόλεως τείχη κρατήσας, ἢ καί τινα νίκην ἐργάζηται, καὶ ὅλως ἀλαλαγμὸς κυρίως ἡ τοιαύτη λέγεται φωνὴ ἣν ἀφιᾶσιν ὥσπερ τι σύμβολον νίκης γεγενημένης.

4 «Ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου»

Προτρεψάμενος ἐπὶ τὴν ὑμνῳδίαν καὶ τὴν ἐπὶ τῇ νίκῃ εὐχαριστίαν, ἀσφαλίζεται πρότερον τοῦ παρασχομένου τὴν νίκην τὸν ὕμνον, ὡς ἂν μὴ δόξῃ κεχαρισμένη τις εἶναι καὶ ἀδιάκοπος ἡ παρασχεθεῖσα αὐτοῖς παρὰ τοῦ Θεοῦ βοήθεια. Τοῦτο δὲ ποιεῖ ἐπειδὴ μὴ μόνον προφητεύειν προήρηται τὸ πρᾶγμα, ἀλλὰ καὶ ἑτέρους παιδεύειν τῇ τῶν ἐσομένων προφητείᾳ, καί φησιν, «ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου»[2], τουτέστιν ὅτι δίκαιον αὐτοῦ τὸ πρόσταγμα, δικαία ἡ ἀπόφασις εὐθύτητος πεπληρωμένη, τοῦτο λέγων ὅτι δικαίως ἡμῖν ἐπήμυνεν. Ἔθος δὲ αὐτῷ τοῦτο ποιεῖν ὁσάκις ἂν μνημονεύσῃ βοηθείας παρασχεθείσης αὐτοῖς παρὰ τοῦ Δεσπότου κατὰ τῶν πολεμίων, τοῦτο σπουδάζοντι δεικνύναι ὅτι οὔτε τούτους χάριτι εὐεργετεῖ ματαίᾳ, οὔτε τοὺς ἐναντίους ὀργῇ τιμωρεῖται, δικαίᾳ δὲ ψήφῳ τὴν κατὰ τῶν ἐναντίων ἀπόφασιν ἐκφέρει.

«Καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει»

Καὶ πάντα τὰ ὑπ' αὐτοῦ πραττόμενα βέβαια καὶ ἀμετάθετα·

---

1. Πρβλ. Ψαλ. 32,3. **2.** Ψαλ. 32,4.

ἀμφοτέρων δὲ τούτων ἡ ἐπαγωγὴ τῶν ῥητῶν ἀναγκαία πρὸς τὰ προηγούμενα. Ἔδει γὰρ ἐπὶ τὴν εὐχαριστίαν προτρεψάμενον καὶ τὸ δίκαιον δεῖξαι τῆς νίκης καὶ τὸ ἀμετάθετον τῆς δωρεᾶς, ἵνα ἐξ ἀμφοτέρων ὀφειλομένη δειχθῇ ἡ εὐχαριστία καὶ ὑμνῳδία ἡ εἰς αὐτόν, **145** ἀπό τε τοῦ δικαίαν παρεσχηκέναι τὴν βοήθειαν καὶ ἀπὸ τοῦ βεβαίαν δεδωρῆσθαι τὴν εὐεργεσίαν. Ταῦτα οὖν ἀμφότερα προσεῖναί φησι τοῖς ἀπὸ τοῦ Θεοῦ γεγενημένοις, ὧν ὅπερ ἂν μὴ προσῇ ἐλαττοῦν τὸ τῆς εὐχαριστίας ἠδύνατο. Εἴτε γὰρ ἄδικος ἦν ἡ βοήθεια, οὐκ ἄξιον ἦν ὑπὲρ τούτων εὐχαριστεῖν, εἰ καὶ ὀφειλόμενον παρὰ τῶν εἰληφότων τὴν χάριν, εἴτε ὀξείαν ἐπεδέχετο τὴν μεταβολήν, καὶ οὕτως περιττὸν ἦν εὐχαριστεῖν ἐπὶ τοῖς οὐ παραμένουσιν ἀγαθοῖς. Καὶ ἐπειδὴ εἶπε δικαίαν τὴν ἀπόφασιν, ἵνα μὴ δόξῃ πάλιν ἀμελεστέρους περὶ τὴν εὐχαριστίαν ἀπεργάζεσθαι ὡς οὐδὲν τοῦ Θεοῦ δωρησαμένου, ἀλλ᾽ ὀφιλῇ προσνείμαντος τὴν βοήθειαν, ἐπάγει·

5 «Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν»

Πρόσεστι, φησί, τοῖς ὑπ᾽ αὐτοῦ γινομένοις καὶ χάρις καὶ τὸ δίκαιον· ἀντὶ δὲ τοῦ προσεῖναι τὸ ἀγαπᾶν εἶπεν, ἐκ πολλοῦ τοῦ περιόντος ἴσως λέγων ὅτι οὐ μόνον τοῖς νυνὶ γεγενημένοις πρόσεστιν ἀμφότερα ταῦτα, ἀλλὰ γὰρ καὶ μετὰ πολλῆς τῆς διαθέσεως φίλον αὐτῷ τοιαῦτα διαπράττεσθαι οἷς ἀμφότερα ταῦτα προσεῖναι συμβαίνει. Πῶς οὖν πρόσεστι καὶ ἡ χάρις καὶ τὸ δίκαιον; Τὸ μὲν δίκαιον ὅτι μὴ ἀδίκως ἐπήμυνε δικαιότατα τοὺς ἀδικοῦντας τιμωρησάμενος, ἡ δὲ χάρις ὅτι οὐκ ἀπὸ τῆς οἰκείας ἀρετῆς ἀξίων ὄντων τοσοῦτον τῶν εὐεργετηθέντων παρέσχε τὴν ἐκδίκησιν ὁ Θεός, τῇ δὲ αὐτοῦ φιλανθρωπίᾳ τὸ πρέπον διαπραττόμενος δίκας παρὰ τῶν ἀδικούντων ἐλάμβανεν. Εἶτα βουλόμενος ὁμοῦ μὲν δεῖξαι μεγάλην τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ μείζονα ταύτην καὶ πολὺ πλεονάζουσαν τοῦ δικαίου, συνεβάλετο γὰρ εἰς μείζονα προτροπὴν ἐκείνων, οὓς ἐπὶ τὸν ὕμνον ἐκάλει καὶ τὴν εὐχαριστίαν τοῦ Θεοῦ, ὁμοῦ δὲ καὶ τὸ σύνηθες αὐτῷ διαπραττόμενος, καὶ ἐπὶ μείζονα ἐκτρέχων ὑμνῳδίαν, τρέπεται ἐπὶ τὴν τῶν καθολικωτέρων ἐξήγησιν καί φησιν·

«Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ»

146 Πολλή τίς φησίν ἐστιν ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ το-

σαύτη ὡς οὐχ ἡμᾶς μόνον αὐτῆς ἀπολαύειν, ἀλλὰ γὰρ καὶ κατὰ πάσης ἐκκεχύσθαι τῆς γῆς. Καλῶς δὲ εἶπε «τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ»[1], ἐπειδὴ ἐκ ταύτης ἅπαντα ἀναδίδοται τὰ πρὸς διατροφὴν καὶ χρείαν καὶ σύστασιν τῶν ἀνθρώπων· ὧν ἅπαντες ἀπολαύοντες οἱ κατὰ τὴν οἰκουμένην ζῶσί τε καὶ συνεστᾶσι καὶ διαμένουσι, πλουσίως τοῦ Δεσπότου κατὰ πᾶσαν ἁπλώσαντος τὴν γῆν τὴν οἰκείαν δωρεάν.

6 «Τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν»

Καὶ οὐ μόνον, φησί, τὰ ἑκάστοτε γινόμενα τῇ αὐτοῦ ἀναδίδοται φιλανθρωπίᾳ, ἀλλὰ καὶ τὰ πάντα τῷ αὐτοῦ προστάγματι συνέστη, ἀπὸ τοῦ μείζονος καὶ κυριωτέρου τῶν ὁρατῶν τὰ πάντα περιλαβών.

«Καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»

Οὔτε «τῷ λόγῳ Κυρίου»[2], ὥς τινες ἐνόμισαν, τῷ Υἱῷ λέγει, οὔτε «τῷ πνεύματι τοῦ στόματος αὐτοῦ» τῷ Πνεύματι τῷ Ἁγίῳ· οὔτε γὰρ ὁ Υἱὸς λόγος Κυρίου λέγεται, ἀλλὰ Λόγος ἁπλῶς, ἀπολύτως. Τίς δὲ ἡ διαφορὰ τοῦ οὕτως λέγεσθαι ἢ ἐκείνως, οὐ νῦν λέγειν καιρός· ἀρκεῖ δὲ τοῦτο πρὸς τὰ παρόντα ἐπισημήνασθαι ὅπως ἔθος τῇ Γραφῇ τῇ θείᾳ λέγειν, ὅταν τοιαῦτα λέγειν **147** βούληται, οὔτε τὸ Πνεῦμα τὸ Ἅγιον «πνεῦμα στόματος αὐτοῦ», ἀλλὰ Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Κυρίου καὶ Πνεῦμα Ἅγιον. Οὐδὲ γὰρ πρέπουσα ἡ τοιαύτη φωνὴ τῇ τοῦ Ἁγίου Πνεύματος ἀξίᾳ. Στόμα γὰρ ἐπὶ τούτοις ὅταν εἴπῃ, ἐνέργειάν τινα παρασημαίνειν βούλεται τὴν ἐπὶ τῆς ὁρωμένης πληρουμένην κτίσεως, ὡς καὶ χεῖρας ὅταν λέγῃ καὶ πόδας καὶ εἴ τι τοιοῦτο οὕτως.

Καὶ ἀλλαχοῦ ἡ Γραφή· «τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα»[3], ἵνα εἴπῃ ταῦτα ὁ Θεὸς ἀπεφήνατο τὰ περὶ ἡμῶν ὁρισθέντα· οὐδαμοῦ γὰρ σωματικῇ τοιαύτῃ φωνῇ τὴν φύσιν ἐξηγεῖται ἡ θεία Γραφὴ τοῦ Δεσπότου ἢ ἀοράτου φύσεως δημιουργίαν, οἷον

---

1. Ψαλ. 32,5. **2.** Ψαλ. 32,6. **3.** Ἡσ. 1,20. 24,3. 58,14. Πρβλ. Μιχ. 4,4. Ἡσ. 25,8.

Ἀγγέλων καὶ τῶν τοιούτων, ὡς ἐφ' ἡμῶν οἶδε λέγειν τό «αἱ χεῖρές σου ἐποίησαν με»[1]. «Πνεύματι» οὖν «στόματος αὐτοῦ» λέγει τῇ ἀποφάσει.

148 Οὕτω δὲ αὐτὸ ἔφρασεν ἀκολουθῶν ἑαυτῷ. Ἐπειδὴ γάρ «λόγον Κυρίου» σωματικώτερον ἀνωτέρω εἶπεν τὸ βούλημα τὸ τοῦ Θεοῦ καθ' ὃ συνέστησαν οἱ οὐρανοί[2], εἰώθαμεν δὲ τὸ πνεῦμα τοῦτο, λέγω δὴ τὸν ἀέρα, πλήττοντες τῷ τῆς γλώττης ὀργάνῳ οὕτως ἀποτελεῖν διὰ τοῦ στόματος τὴν ἔναθρον φωνὴν τὸν λόγον προφέροντες, ἀκολουθῶν ἑαυτῷ πλατυτέρᾳ τῇ ἐξηγήσει καὶ σωματικωτέρᾳ τὴν ἀπόφασιν οὕτως ἐκάλεσεν. Τὸ δέ «ἡ δύναμις αὐτῶν», τουτέστι τῶν οὐρανῶν, καλῶς εἶπε Σύμμαχος 'ἡ διακόσμησις αὐτῶν', ἵνα ᾖ ἥλιος καὶ σελήνη καὶ ἀστέρες· ταῦτα γάρ ἐστιν οὐρανοῦ διακόσμησις εἰς τὸ εὐπρεπέστερον τῇ τούτων δημιουργίᾳ καταστάντος. Δυνάμεις μέντοι τῶν οὐρανῶν ταῦτα καὶ ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις ἐκάλεσεν εἰπών· «αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται»[3], δυνάμεις αὐτὰ εἰπὼν ὡς πάντων μάλιστα τῶν ὑπὲρ γῆς ὁρατῶν μείζονα τῆς δυνάμεως τὴν ἀπόδειξιν παρεχόμενα. Εἰ δὲ πληθυντικῶς λέγει «οὐρανούς» οὐ θαυμαστόν· ἔθος γὰρ τῷ ἑβραίῳ πληθυντικῶς καλεῖν τὸ ἑνικόν. Τούτου δὴ πρόσεστί τι καὶ ἡμῖν τοῦ ἔθνους, ὃ καὶ μάλιστα ἐν **149** ταῖς ἐπιστολαῖς ποιεῖν εἰώθαμεν καὶ ἐν ταῖς πρὸς τοὺς πολλοὺς διαλέξεσιν, ὢν γὰρ εἷς ὁ γράφων γράφομεν καὶ προσαγορεύομεν πληθυντικῇ τῇ ἐκδόσει κεχρημένος. Ἔστι τοίνυν τοιοῦτο καὶ παρὰ τοῖς Ἑβραίοις ἔθος, ᾧ κεχρῆσθαι φιλοῦσιν ἐπὶ τῶν μειζόνων.

7 «Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης»

Ἐμνημόνευσε γῆς, οὐρανῶν, τῆς τούτων διακοσμήσεως, μνημονεύει καὶ τῶν ὑδάτων μηδὲν τῶν καθολικῶν παραλιμπάνων. Τὸ δέ «ὡσεὶ ἀσκόν»[4] εἶπε τὸ εὐχερὲς καὶ δυνατὸν τοῦ Θεοῦ τῆς ἐνεργείας παρασημαίνων, ὅτι οὕτως εὐχερῶς καὶ δυνατῶς εἰς ἓν τὰ τοσαῦτα τῆς θαλάσσης ὕδατα συγχέει ὡς εἴ τις ἐν ἀσκῷ ὕδωρ συνέχοι, τῆς ἔξωθεν περιβολῆς ἐξ ἀνάγκης αὐτὸ κατεχούσης.

---

1. Ἰὼβ 10,8. Ψαλ. 118,73. **2.** Πρβλ. Ψαλ. 32,6. **3.** Ματθ. 24,29. **4.** Ψαλ. 32,7.

«Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους»

Ἵνα εἴπῃ ὡς ἐν θησαυροῖς. Ἰδίωμα δὲ καὶ τοῦτο ἑβραϊκὸν ἄνευ τοῦ ὡς τῇ παραβολῇ κεχρῆσθαι, ὡς τό «καὶ ἔθετο τόξον χαλκοῦν τοὺς βραχίονάς μου»[1], ἀντὶ τοῦ ὡς τόξον. Καλῶς δὲ εἶπεν ὡς «ἐν θησαυροῖς ἀβύσσους»· ἐπειδὴ γὰρ τό «ἐν θησαυροῖς» ἀποκείμενον εἴωθεν ἀμετάθετον ἔν τινι τόπῳ καθεστάναι, τοῦτο βούλεται εἰπεῖν περὶ τοῦ Θεοῦ ὅτι τὰς τοσαύτας ἀβύσσους οὕτως ἐν ἑνὶ τόπῳ συναγαγὼν ἀκινήτους φυλάττεις καὶ ἀμεταθέτους, οὐκ ἐῶν κατὰ τὸν νόμον τῶν ὑδάτων χωρεῖν τε προσωτέρω καὶ ἐπιπολάζειν τῇ γῇ, ὡς ἂν εἴ τις τῶν βαρυτάτων τε ὑλῶν τι θησαυρίζειν βουλόμενος ἀποθοῖτο, συναγαγὼν ἐν τόποις ἰδίοις.

150 Ἀκύλας τό «συνάγων» καὶ τό «τιθείς» ὡς ἐπὶ παρεληλυθότος λέγει 'συνήγαγε' καί 'ἀπέθετο'. Ἀκολουθότερον μὲν οὖν ἐκεῖνο εἶναι δοκεῖ, — τό 'συνήγαγε' καί 'ἀπέθετο' —, ὡς ἐπὶ παρεληλυθότος τὸ γεγονὸς ἐξηγουμένου, ἀξιοπρεπέστερον δὲ τοῦτο καὶ συμφωνοῦν μᾶλλον τῇ λοιπῇ διανοίᾳ τῆς θείας Γραφῆς· ᾗ κέχρηται πολλαχοῦ περὶ τοῦ γεγονότος, ὡς ἑκάστοτε γινομένου λέγουσα κυριώτερον, νῦν· ἐπὶ τῶν ὑδάτων ἐχρήσατο. Τῶν μὲν γὰρ ἄλλων ὅπερ ἄν τις συναγάγοι ἢ ἀποθοῖτο ἐξ ἀρχῆς μένει κατὰ τὴν τοῦ συναγαγόντος συναγωγήν, τὰ δὲ ὕδατα, κἂν πλεονάκις τις συναγάγοι μὴ ἐμβαλὼν ἀγγείῳ ἢ ἐργασάμενός τι τὸ κωλῦον τὴν ἐπὶ τὰ πρόσω πρόοδον, πάλιν διολισθαίνοντα κατὰ τὴν οἰκείαν φύσιν προσωτέρω χωρεῖ. Ἐπειδὴ τοίνυν ταῦτα, λέγω δὴ τὰ ὕδατα, οὐδὲν ἔχοντα τὸ ἐπέχον τῇ τοῦ Θεοῦ ἀποφάσει κωλύεται, καλῶς εἶπε τό «συνάγων» καὶ τό «τιθείς», ὡς ἀεὶ αὐτοῦ τῷ βουλήματι τοῦτο ἐνεργοῦντος παρὰ τὴν τῶν ὑδάτων φύσιν.

8 «Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ»

Μετὰ τὴν καθολικὴν ἐξήγησιν καὶ τὴν ἐπὶ τῇ τῶν ὅλων δημιουργίᾳ ὑμνῳδίαν, καθολικὴν ποιεῖται καὶ τὴν παραίνεσιν, πᾶσι φοβεῖσθαι παραγγέλλων εἰκότως τὸν τοσαῦτα καὶ τηλικαῦτα ἐργασάμενον.

1. Ψαλ. 17,35.

«Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην»

Τό «σαλευθήτωσαν»[1], ἀντὶ τοῦ σφόδρα φοβηθήτωσαν, ἐπειδὴ ἔθος τὸν ὑπερβαλλόντως φοβούμενον καὶ σαλεύεσθαι τρόμῳ κατεχόμενον.

9 «Ὅτι αὐτὸς εἶπεν, καὶ ἐγενήθησαν»

Σύντομον καὶ ἀναγκαίαν εἶπε τοῦ φόβου καὶ τοῦ τρόμου τὴν αἰτίαν· τοὺς γὰρ ὑπ' αὐτοῦ γινομένους προσῆκόν ἐστι φοβεῖσθαι τὸν ποιητήν. Εἶτα εἰρηκὼς αἰτίαν πασῶν μὲν ἀναγκαιοτέραν, ἅπαξ δὲ γενομένην τῶν ὄντων τὴν δημιουργίαν λέγει[2] καὶ τὰ ἑκάστοτε γινόμενα παρ' αὐτοῦ ἢ ἃ ποιεῖν δύναται, ἀναγκαίως αὐτὸν δεῖν φοβεῖσθαι διὰ πάντων δεικνύς, ὁμοῦ δὲ καὶ τὰ ἁρμόττοντα τῇ παρούσῃ ὑποθέσει τοῦ ψαλμοῦ λέγων, ἵνα καὶ τὴν ἀλήθειαν ἔχῃ τὰ λεγόμενα ἀπὸ τῶν γεγονότων μὴ ῥήματα εἶναι δοκοῦντα, ἀλλὰ καὶ τοῖς πράγμασιν οὕτω δεικνύμενα. Καὶ τί φησιν;

10 «Κύριος διασκεδάζει βουλὰς ἐθνῶν»

151 Διασκορπίζει αὐτῶν τὰ βουλεύματα[3], οὐκ ἐῶν εἰς πέρας ἐλθεῖν.

«Ἀθετεῖ δὲ λογισμοὺς λαῶν»

Ἀπράκτους αὐτοὺς καθίστησιν, ἀκύρους καὶ ματαίους.

«Καὶ ἀθετεῖ βουλὰς ἀρχόντων»

Τὸ αὐτὸ διαφόρως ἐξηγήσατο ἐθνῶν εἰπὼν καὶ λαῶν καὶ ἀρχόντων, τοῦτο βουλόμενος εἰπεῖν ὅτι κἂν πλῆθος ᾖ τὸ βουλόμενον, τοῦ Θεοῦ τὸ ἐναντίον βουλομένου, ἀνωφελὲς τὸ πλῆθος ἐν τοῖς βουλευομένοις, κἂν ἄρχοντές τι λογίζωνται, ἄπρακτον αὐτοῖς τὸ σπουδαζόμενον γίνεται, οὐδὲν ὠφελουμένοις ἐκ τῆς ἀρχῆς ἢ τοῦ πλήθους τῶν ὑπηκόων. Εἶτα τὸ μεῖζον.

11 «Ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει, λογισμοὶ τῆς καρδίας αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς»

Οὐ γὰρ μόνον φησί, τὰ τῶν ἄλων ἄκυρα ἀποφαίνειν δύναται,

---

1. Ψαλ. 32,8. **2.** Πρβλ. Ψαλ. 32,9. **3.** Πρβλ. Ψαλ. 32,10.

ἀλλὰ καὶ τοῖς οἰκείοις πολλὴν προστιθέναι τὴν βεβαίωσιν. «Λογισμοὺς δὲ τῆς καρδίας» εἶπε σωματικῶς, τὸν κεκριμένον ὅρον καὶ τὴν κυρίαν ἀπόφασιν οὕτω καλῶν τοῦ Θεοῦ, ἵνα εἴπῃ ὅτι ἀμετάθετος ἡ τοιαύτη γνώμη τοῦ Δεσπότου. Ὥσπερ δὲ ἐκεῖνα διαφόρων εἶπε βουλὰς ἐθνῶν καὶ λογισμοὺς λαῶν καὶ λογισμοὺς ἀρχόντων[1], οὕτω πάλιν καὶ τὰ τοῦ Κυρίου διαφόρως ἐξηγήσατο «βουλὴν Κυρίου» εἰπὼν καί «λογισμοὺς καρδίας αὐτοῦ», μεγαλοπρεπέστερον αὐτὰ ἐξηγήσασθαι βουλόμενος τῇ διαφορᾷ τῶν λεγομένων. Ταῦτα δὲ οὕτω γενέσθαι παρὰ τοῦ Θεοῦ ὡς ἀπὸ τῶν παρόντων φησίν· διὸ μετὰ τὴν καθολικὴν ἐξήγησιν καὶ μετὰ τὴν καθολικὴν ὑμνῳδίαν τρέπει καὶ ἐπὶ τὴν ὑπόθεσιν αὐτὴν τὸν λόγον ἀπὸ τῆς ἐξηγήσεως καί φησιν· «λογισμοὶ τῆς καρδίας ‹αὐτοῦ ἀπὸ γενεῶν εἰς γενεάς›»[2].

12 «Μακάριον τὸ ἔθνος, οὗ ἐστιν Κύριος ὁ Θεὸς αὐτοῦ, λαός, ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ»

Ἐπειδὴ τοίνυν οὕτω φησὶ τά τε τῶν ἄλλων ἄπρακτα δείκνυσι καὶ τοῖς οἰκείοις πολλὴν παρέχει τὴν βεβαίωσιν, μακάριοι **152**
ὑμεῖς οἱ τῷ Δεσπότῃ ἀνακείμενοι, καὶ μακάριοι ὑμεῖς οἱ παρ' αὐτοῦ λαὸς ἐκλεχθείς, ἐπείπερ ἀμετάθετος ἡ εἰς ὑμᾶς εὐεργεσία τοῦ Δεσπότου γίγνεται. Ἰδοὺ γὰρ καὶ τοιούτων τετυχήκατε, τοῦ Θεοῦ τὰ μηχανήματα τῶν πολεμίων περιτρέψαντος εἰς τὸ ἐναντίον. Τὸ δέ «εἰς κληρονομίαν ἑαυτῷ»[3] ἀντὶ τοῦ εἰς ἐξαίρετον ἀφόρισμα, εἰς ἰδιάζουσαν δεσποτείαν, ἐπεὶ ἡ κληρονομία ἰδιαζόντως, ὑπὸ τὴν τῶν κληρονομούντων κεῖται δεσποτείαν. Εἶτα ὡς πρὸς ἀπόδειξιν τῶν λεχθέντων καὶ σύστασιν ἐξηγεῖται τὰ γεγονότα καί φησιν·

13 «Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος»

Ἐπειδὴ τὸν ὀφθαλμὸν ἐπὶ τοῦ Θεοῦ καλεῖ τὸ διορατικὸν καὶ διαγνωστικὸν εἴτε ἐπὶ τῶν δικαίων ἐπ' εὐεργεσίᾳ γιγνόμενον, εἴτε ἐπὶ τῶν ἁμαρτωλῶν ἐπὶ τιμωρίᾳ, τό «ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος»[4] ἀκολούθως φησὶ τοῖς ἄνω ὡς πρὸς ἀπόδειξιν τῶν λεχθέν-

1. Πρβλ. Ψαλ. 32,10. **2.** Ψαλ. 32,11. **3.** Ψαλ. 32,12. **4.** Ψαλ. 32,13.

των, ὅτι οὕτω, φησίν, μακάριοι ὑμεῖς οἱ ἐκλεγέντες παρ' αὐτοῦ, ὅτι ἰδοὺ οὐ κατέλιπεν ἀνεξέταστα τὰ γεγενημένα.

«Εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων»

Τὸ αὐτὸ πάλιν λέγει· ὅμοιον γάρ ἐστι τῷ «εἶδε» τό «ἐπέβλεψεν», ἀντὶ τοῦ προσέσχε, διέγνω τὰ γεγενημένα.

14 «Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ»

Τὸ δέ «ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ»[1] Σύμμαχος λέγει φανερώτερον 'ἀπὸ τῆς ἑδραίας κατοικίας αὐτοῦ', ἵνα δείξῃ φοβερωτέραν τὴν ἐξέτασιν τὴν παρὰ τοῦ Θεοῦ γινομένην τῷ ἑδραίαν ἔχειν καὶ βεβαίαν τὸν ἐξετάζοντα τὴν ἐξουσίαν. Τοῦτο γὰρ βούλεται ἐνταῦθα εἰπεῖν τό «κατοικητήριον αὐτοῦ», ἀπὸ τῆς κατοικίας αὐτοῦ τὸ τῆς φύσεως αὐτοῦ καὶ τῆς ἐξουσίας βέβαιον παριστάς, ὡς καὶ ἐν τῷ 'Ιώβ φησιν ἐᾷ δέ «τοὺς κατοικοῦντας οἰκίας πηλίνας, ἐξ οὗ καὶ αὐτοί ἐσμεν ἐκ τοῦ αὐτοῦ πηλοῦ»[2] ἀπὸ τῆς οἰκήσεως τὸ εὐδιάλυτον καὶ ἀσθενὲς τῆς φύσεως τῶν ἀνθρώπων παραδεικνύς. Τὸ δὲ ἑδραῖον «ἕτοιμον» ἐκάλεσεν, ἐπεὶ τὸ μὲν ἑδραῖον πάντως ὄν, καὶ διαμένον ἕτοιμόν ἐστιν καὶ εὐπρεπές, οὐ δεόμενόν τινος παρασκευῆς, τὸ δὲ ἑτοιμασίας δεόμενον οὐδὲ εἶναι δύναται καθό τινος ἑτοιμασίας καὶ παρασκευῆς προσδεῖται.

«Ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν»

153 Πάλιν προστίθησι τὴν τῆς ἐξετάσεως ἐξήγησιν ἵνα εἴπῃ ὅτι οὐδενὸς καταμελεῖ, μακαριστοὺς ἐκ τούτου τοὺς ὑπὸ τὴν αὐτοῦ πρόνοιαν δεῖξαι βουλόμενος τῷ μὴ δύνασθαι ῥαθυμηθῆναι ὑπ' αὐτοῦ.

15 «Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν»

Τινὲς ᾠήθησαν τὸν μακάριον Δαβὶδ ἐνταῦθα λέγειν ὅτι «κατὰ μόνας»[3] ἔπλασε τὰς ψυχὰς τῶν ἀνθρώπων κεχωρισμένως τοῦ σώματος, ὡς «καρδίας» τὰς ψυχὰς λέγοντος. Εἴτε δὲ οὕτως ἔχει, εἴτε

---

1. Ψαλ. 32,14. **2.** 'Ιὼβ 4,19. **3.** Ψαλ. 32,15.

καὶ μή, — μακροτέρων γὰρ ἐκεῖνο δεῖται τῶν λόγων —, οὐ τοῦτο ἐνταῦθα εἰπεῖν βούλεται, ἀλλά «τὰς καρδίας αὐτῶν»[1], ἵνα εἴπῃ αὐτούς, ἀπὸ τοῦ μερικοῦ λέγων τὸ ὅλον. «Ὁ πλάσας» οὖν αὐτοὺς «κατὰ μόνας», ἀντὶ τοῦ οὐδενὸς παρόντος ἀνθρώπων, ἵνα εἴπῃ οὐκ ὄντας παρήγαγε, τοῦτο ἀπὸ τοῦ πρωτοπλάστου ἐξηγούμενος, ἐν ᾧ πρῶτον τὴν φύσιν κατεβάλετο τῶν ἀνθρώπων· ἀνάγκη γὰρ ἦν τὸν ἄνθρωπον, οὐδενὸς ὁμοίου παρόντος, γεγενημένον οὐκ ὄντα παρῆχθαι. Οὕτω γὰρ καὶ ἀλλαχοῦ φησιν «Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί»[2], ἵνα εἴπῃ ἐγώ, — ἐπάγει γάρ «φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ»[3]—, ἀλλ' οὐδὲ ἐγχωρεῖ τὴν καρδίαν ταράσσεσθαι κεχωρισμένως τοῦ λοιποῦ σώματος. Ἔθος δὲ αὐτῷ ἀπὸ τῶν μερικῶν τὰ ὅλα οὐ γὰρ ἁπλῶς σημαίνειν, ἀλλ' ὡς ἐπὶ πολὺ κυριωτέρου τινὸς πρὸς τὴν τῶν λεγομένων σημασίαν μνημονεύοντι, οἷον τό «ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί»[4] εἶπεν, ἐπειδὴ τῆς ταραχῆς τὸ κυριώτερον καὶ ἡ αἴσθησις ἐγγίνεται τῇ καρδίᾳ, καὶ τό «τὰ χείλη μου ἐπαινέσουσί σε»[5] λέγει, **154** οὐχ' ὅτι τὰ χείλη κεχωρισμένως εἶχεν ἐπαινεῖν τὸν Θεόν, ἀλλ' ὅτι δι' ἐκείνων ὁ ἔπαινος ἐγγίνεται. Κἀνταῦθα τοίνυν ἀπὸ τῆς καρδίας τὸ ὅλον ὠνόμασε, διὸ τὸ ἑξῆς «ὁ συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν»· βούλεται γὰρ εἰπεῖν διὰ τούτου ὅτι ἁπάντων ἔχω τῶν ὑφ' ὑμῶν γιγνομένων τὴν γνῶσιν. Ἐπειδὴ τοίνυν τὸ κυριώτερον πρὸς ἐξέτασιν τῶν γιγνομένων ἐστὶν ἡ τῶν λογισμῶν γνῶσις, — οἳ καὶ πάσης εἰσὶν αἴτιοι πράξεως τῆς διὰ τοῦ ἀνθρώπου γιγνομένης καὶ ἐν τῷ βάθει κειμένης, οἷα γνωστότεροι καθεστήκασι τῆς καρδίας ἐκπορευόμενοι κατὰ τὴν Κυρίου φωνήν[6]—, «ὁ πλάσας τὰς καρδίας αὐτῶν» εἶπε, δεικνὺς ἐντεῦθεν ὅτι οὐ δυνατὸν αὐτόν τι λαθεῖν τῶν γιγνομένων παρὰ τῶν ἀνθρώπων, ἐπεὶ καὶ τοῦ ταμείου τῶν λογισμῶν, τουτέστι τῆς καρδίας, αὐτός ἐστιν ὁ Δημιουργός. Τοῦτο γὰρ ἠβουλήθη εἰπεῖν, διόλου ἀκολούθως τοῖς προκειμένοις, ὅτι μακάριοί ἐστε οἱ αὐτῷ ἀνακείμενοι, ὃς πάντων μὲν ποιεῖται τὴν ἐξέτασιν τῶν πραττομένων, λανθάνει δὲ αὐτὸν οὐδὲν ἀλλ' ἔχει πάντων ἀκριβῆ τὴν γνῶσιν. Οὗτος γάρ φησι, καὶ τὰ καθ' ὑμᾶς ἐξετάσας καὶ τὰ γι-

1. Ψαλ. 32,15. **2.** Ψαλ. 54,5. **3.** Ψαλ. 54,6. **4.** Ψαλ. 54,5. **5.** Ψαλ. 62,4. **6.** Πρβλ. Ματθ. 15,19.

νόμενα περισκοπήσας, θεασάμενος τὴν ἄδικον ἔφοδον τῶν πολεμίων ἀπήλασε καὶ ταῦτα ἰσχυροὺς ὄντας τιμωρησάμενος. Διό φησιν·

16 «Οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν»

Τὸ παρ' αὐτοῖς γεγονὸς καθολικῶς ἐξηγούμενος, διόλου ταύτῃ τῇ ἀκολουθίᾳ χρησάμενος. Καὶ γὰρ ἀνωτέρω τό «Κύριος διασκεδάζει βουλὰς ἐθνῶν»[1] καὶ τὸ ἑξῆς καθολικῶς ὡς τοῦ Θεοῦ ἐνεργοῦντος ἀεί φησιν ἀπὸ τοῦ γεγονότος παρ' αὐτοῖς ἐξηγησάμενος, καὶ ἐνταῦθα ὁμοίως κατὰ τὴν αὐτὴν ἀκολουθίαν λέγει τό «οὐ σῴζεται βασιλεὺς διὰ πολλὴν δύναμιν»[2]. Τοῦτο δὲ μετὰ καὶ τῶν ἑξῆς ἐπὶ τῆς παρούσης ὑποθέσεως ἁρμόττει λέγεσθαι ἐπὶ τοῦ τῶν Ἀσσυρίων βασιλέως, ὅτι οὐδὲν ὤνησεν αὐτὸν ἡ πολλὴ ἰσχὺς τοῦ στρατοπέδου, τῆς τοῦ Θεοῦ ὀργῆς ἀπροσδοκήτως αὐτὸν τιμωρησαμένης[3].

«Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ»

Γίγαντα καλεῖ τὸν δυνατόν· οὕτω γὰρ καὶ Σύμμα**155**χός φησιν, 'οὐδὲ ἀνδρεῖος διαφεύξεται διὰ πλῆθος ἰσχύος αὐτοῦ'. Δῆλον οὖν ὡς ὅταν λέγῃ ἡ Γραφὴ τοὺς γίγαντας τοὺς ἀπ' αἰῶνος[4], οὐ ταῖς μυθοποιΐαις ἀκολουθοῦσα λέγει ταῖς περὶ τῶν γιγάντων, ἀλλὰ τούς ποτε ἰσχυροὺς εἰπεῖν βουλομένη. Ἐπισημαντέον δὲ ἐκεῖνο, ὅτι οὐδαμοῦ δικαίους ἀνδρείους καλεῖ γίγαντας, ἀλλ' ὅσοι ἀνδρεῖοι καὶ ἀσεβεῖς γεγόνασιν.

17 «Ψευδὴς ἵππος εἰς σωτηρίαν»

Καλῶς τό «ψευδής»[5], ἐπειδή «ἵππος» πολλὴ προσοῦσα τοῖς πολεμίοι δύναται τῷ σχήματι τὴν σωτηρίαν ὑπισχνεῖσθαι, ἀλλὰ ψεύδεται τὴν τοῦ προσχήματος ἐπαγγελίαν, τῆς τοῦ Θεοῦ ὀργῆς δυνατωτέρας τυγχανούσης. Εὐκαίρως δὲ εἶπε τό «ἵππος», ἐπειδὴ μάλιστα ἐπὶ τῷ πλήθει τῶν ἵππων ηὔχουν οἱ Ἀσσύριοι.

---

1. Ψαλ. 32,10. **2.** Ψαλ. 32,16. **3.** Πρβλ. Δ' Βασ. 19,35. Β' Παρλ. 32,20-22. Ἠσ. 37,36. **4.** Πρβλ. Γεν. 6,4. **5.** Ψαλ. 32,17.

«Ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται»

Τουτέστι, κἂν πολλὴ ᾖ «ἵππος» ἢ καὶ ἰσχυρά, τὴν σωτηρίαν οὐ παρέξει. Διὰ τί ἑξῆς φησιν.

18 «Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου ἐπὶ τοὺς φοβουμένους αὐτόν»

Ἐπειδὴ ὁ Δεσπότης ἐπιβλέπει τοῖς ἐπιμελουμένοις αὐτοῦ τῆς εὐαρεστήσεως καὶ τῶν προσταγμάτων. Τοῦτο γάρ ἐστι τό «τοὺς φοβουμένους αὐτόν»[1], ἐπειδήπερ οἱ οἰκέται φόβῳ κατεχόμενοι πληροῦν τῶν δεσποτῶν ἐσπουδάκασι τὰ προστάγματα, τοῦ φόβου συνελαύοντος πρὸς τὴν ἐκπλήρωσιν καὶ καταρρᾳθυμεῖν οὐκ ἐῶντος.

18-19 «Τοὺς ἐλπίζοντας ἐπὶ τὸ ἔλεος αὐτοῦ ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ»

Τοὺς ἀναμένοντας τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ὥστε ἀπαλλαγῆναι μὲν αὐτοὺς θανάτου[2], ἐν δὲ τῷ καιρῷ **156** τῆς συμφορᾶς ἀνέσεως τυχεῖν. «Λιμόν» μὲν γὰρ καλεῖ τὴν θλίψιν ὡς ἀγαθῶν στέρησιν ἐργαζομένην, «διάθρεψιν» δὲ τὴν ἄνεσιν καὶ τὴν τῶν κακῶν ἀπαλλαγὴν ὡς μετουσίαν παντὸς ἀγαθοῦ χορηγοῦσαν. Τούτοις οὖν προσέχει ὁ Δεσπότης καὶ παρέχει ταῦτα ἃ κἀκεῖνοι λαβεῖν ἐλπίζουσι παρ' αὐτοῦ.

20 «Ἡ ψυχὴ ἡμῶν ὑπομενεῖ τῷ Κυρίῳ»

Ἐξηγησάμενος τοῦ Θεοῦ τὴν εἰς αὐτοὺς εὐεργεσίαν, ἑξῆς ἐπάγει ταῦτα. Τὶ βουλόμενος εἰπεῖν; Ὅτι τούτων ἕνεκεν δικαίως ἀναμένομεν καὶ ἐκδεχόμεθα τοῦ Θεοῦ τὴν βοήθειαν. Τὸ δὲ ἐκδέχεσθαι καὶ προσδοκᾶν τοῦ Θεοῦ τὴν βοήθειαν ὑπομένειν ἐκάλεσεν, ἐπειδὴ οἱ θλιβόμενοι, ὅταν ὑπομένωσι πάντως, ἐπί τινος προσδοκίᾳ ὑπομένουσι γενναίως, ἢ ἐπὶ προσδοκίᾳ τῶν ἐσομένων ἀγαθῶν, ἢ δόξης ἐλπίδι, ἤ τινος τοιούτου διὰ ποίαν οὖν ἐκδέχεσθαι τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν.

«Ὅτι βοηθὸς καὶ ὑπερασπιστὴς ἡμῶν ἐστιν»

Ὅτι αὐτὸς ἀεὶ βοηθῶν ἡμῖν παρέχει τὴν σωτηρίαν. Τὸ γάρ

1. Ψαλ. 32,18. 2. Πρβλ. Ψαλ. 32,18-19.

«ὑπερασπιστής»[1] ἐκ μεταφορᾶς λέγει τῶν ἐν τοῖς πολέμοις προτιθέντων τὰς οἰκείας ἀσπίδας καὶ ὑπὸ ταύταις πολλάκις σκεπόντων ἑτέρους καὶ ἀπαλλαττόντων πάσης συμφορᾶς.

21 «Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν»

Καὶ ὅτι βοηθήσας παρέξει τὴν εὐφροσύνην.

«Καὶ ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ ἠλπίσαμεν»

Εἰρηκὼς τὰ αἰτίας δι' ἃς ἀνάμενει τοῦ Θεοῦ τὴν βοήθειαν, πάλιν τὸ αὐτὸ ἐπήγαγε συμπλέξας καί φησιν, διὰ ταῦτα «ἠλπίσαμεν»[2] ἐπ' αὐτόν, ταῖς αἰτίαις δι' ἃς ἠλπικέναι φησιν ἐπισυνάπτων τό «ἠλπίσαμεν». Τοῦτο δὲ ποιεῖ πρὸς παράστασιν τοῦ τῆς ἐλπίδος εὐλόγου. Οὕτω γὰρ ἔθος ἡμῖν ἐστι ποιεῖν ἐπὶ τῶν τοιούτων· ὅταν γὰρ αἰτίας μνημονεύσωμεν ὑφ' ἧς τι διαπράξασθαι παρεσκευάσθημεν, ὥσπερ ἀνάγκῃ τινὶ τῷ εὐλόγῳ τῆς αἰτίας ἐπὶ τὴν ἐκπλήρωσιν ἀχθέντες τῆς πράξεως, ἀναγκαίως μετὰ τὴν τῆς αἰτίας μνήμην πολλάκις ἐπισυνάπτομεν **157** τὸ διὰ ταῦτα τόδε ἐποίησα, διὰ ταῦτα τόδε διεπραξάμην, ἀντὶ τοῦ ἀναγκαίως διὰ ταῦτα τόδε ἐποίησα. Εἶτα δείξας τῆς ἐλπίδος τὸ εὔλογον τῆς ἐπὶ τὸν Θεὸν ἐπάγει·

22 «Γένοιτο τὸ ἔλεός σου, Κύριε, ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπί σοι»

Οὐκοῦν, φησίν, οὕτως εἰς ἡμᾶς ἡ φιλανθρωπία σου γενέσθω, ὥσπερ καὶ ἡμεῖς «ἠλπίσαμεν». Τί δέ ἐστιν τό «καθάπερ ἠλπίσαμεν»[3]; Ἐπειδὴ εἶπεν ἀνωτέρω ὅτι τὴν σὴν περιεμείναμεν ἀντίληψιν ὡς βοηθοῦ, ὡς ὑπερασπιστοῦ, ὡς εὐφροσύνην παρέχειν δυναμένου[4], ἐπήγαγε τὸ παράσχου «τὸ ἔλεός σου καθάπερ ἠλπίσαμεν», τουτέστιν ὡς βοηθός, ὡς ὑπερασπιστής, ὡς εὐφραίνων ἡμῶν τὰς καρδίας, ὡς πάντα ἡμῶν ὢν καὶ πάντα ἡμῖν παρέχων, οὕτως ἡμᾶς καὶ νῦν εὐεργέτησον· οὕτω γὰρ ἡμεῖς τε «ἠλπίσαμεν ἐπί σοι» καὶ τὴν σὴν δωρεὰν δίκαιον ἡμῖν παρασχεθῆναι ἀκόλουθον τῇ ἡμετέρᾳ δοθησομένην ἐλπίδι.

---

1. Ψαλ. 32,20. 2. Ψαλ. 32,21. 3. Ψαλ. 32,22. 4. Πρβλ. Ψαλ. 32,20-21.

Ψαλμὸς 33

Σύμφωνα τῷ πρὸ αὐτοῦ ψαλμῷ καὶ ἐνταῦθα προφητεύει, ὥσπερ τινὰς εὐχαριστηρίους φωνὰς τὸν ψαλμὸν τοῦτον ὑπὲρ τῶν γεγενημένων ἀναπέμπων εἰς τὸν Δεσπότην ἐκ προσώπου τοῦ Ἐζεκίου, παιδεύων τε ἐκ τῆς παρούσης ὑποθέσεως ἅπαντας, κἂν ἐν μέσοις ὦσι τοῖς κακοῖς, παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν ἐκδέχεσθαι ὡς πάντως τευξομένους διὰ τούτου τῶν ἀγαθῶν, μακαρίζων τε ἐντεῦθεν τοὺς ἐπὶ τὸν Θεὸν ἐλπίζοντας ὡς πλεῖστα προξενεῖν αὐτοῖς ἀγαθὰ

Μετὰ τὴν ὡς ἐκ τοῦ Ἐζεκίου προτροπήν, πρὸς ἀπόδειξιν τῆς παραινέσεως μνημονεύσας τῶν κατ' αὐτὸν λέγει, καὶ ὅπως αὐτοῖς ἐπαμύνει ὁ Θεὸς ἐὰν ἐλπίζειν ἐπ' αὐτὸν σπουδάζωσιν, ἀπὸ τῆς παρούσης ὑποθέσεως καὶ ἀπὸ τῶν κατὰ τὸν Ἐζεκίαν γεγενημένων καὶ τὸν τρόπον ἐξηγούμενος τῆς βοηθείας ὃν παρέξει αὐτοῖς πάντως ὁ Θεὸς ἐλπίσασιν ἐπ' αὐτόν. Διό φησιν «παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς»[1].

158 τῆς ἐπὶ τὸν Θεὸν ἐλπίδος δυναμένης. Ἐκτίθεται δὲ καὶ κατηχητικὴν παραίνεσιν, διδάσκων εὐλαβείας ἅπαντας ἐπιμελεῖσθαι τοὺς ἐντεῦθεν ὑπὸ τὴν τοῦ Θεοῦ κεισομένους πρόνοιαν, καὶ ῥυσθησομένους παρ' αὐτοῦ τῶν κακῶν κἂν ἐν μέσοις πολλάκις τοῖς κινδύνοις ἐξετασθῶσιν.

2 «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ»

Τό «εὐλογήσω»[2] ἀντὶ τοῦ εὐφημήσω, ὑμνήσω, τὸ δέ «ἐν παντὶ καιρῷ», τουτέστι καὶ ἐν ἀνέσεως καιρῷ καὶ ἐν θλίψεως. Καλῶς δὲ τοῦτο μάλιστα ἐπὶ τοῦ Ἐζεκίου· καὶ γὰρ καὶ ἐν τοῖς κακοῖς ὤν, τῶν Ἀσσυρίων κεκυκλωκότων αὐτούς, ἐπὶ τὴν προσευχὴν ἐτρέπετο τοῦ Θεοῦ[3]. Εἰκότως οὖν ἐπ' αὐτοῦ καὶ μετὰ τὴν νίκην φησίν «ἐν παντὶ καιρῷ», ὃς καὶ ἐν τῷ καιρῷ τῶν συμφορῶν οὐκ ἐπελάθετο τῆς τοῦ Θεοῦ ὑμνῳδίας.

---

1. Ψαλ. 33,8. **2.** Ψαλ. 33,2. **3.** Πρβλ. Δ' Βασ. 19,14-19. Β' Παρλ. 32,20. Ἡσ. 37,15-20.

«Διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου»

«Διὰ παντός» αὐτὸν ὑμνῶν διατελέσω, οὐ διδοὺς σχολὴν πρὸς τοῦτο «τῷ στόματί μου». Διὰ τί οὖν οὕτω σύντονον ποιεῖ τὴν ὑμνῳδίαν ἑξῆς φησιν.

3 «Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου»

«Ἐπαινεθήσεται» ἀντὶ τοῦ δοξασθήσεται, θαυμασθήσεται. «Ἡ ψυχή μου» ἀντὶ τοῦ ἐγώ, τὸν ὅλον ἄνθρωπον ἀπὸ τῆς ψυχῆς καλῶν, ὡς τὸ ἐν ἑβδομήκοντα πέντε ψυχαῖς κατέβη Ἰακὼβ εἰς Αἴγυπτον[1]. Διὰ τοῦτο οὖν φησιν ἀδιαλείπτως αὐτὸν ὑμνήσω, ἐπειδὴ τῇ αὐτοῦ βοηθείᾳ θαυμαστὸς παρὰ πᾶσι καὶ ἐπίδοξος καθέστηκα. Ἀκολούθως δὲ τοῦτό φησιν· ἀνάγκη γὰρ ἦν, τοῦ Θεοῦ διὰ τὴν περὶ αὐτὸν πρόνοιαν τοσούτους ἀνῃρηκότος, ἁπανταχοῦ περιαγγελλομένου τοῦ γεγονότος, ἐπαινεῖσθαι παρὰ πᾶσιν αὐτὸν δι' ὃν τοσούτους ὁ Δεσπότης οὕτω συντόμως ἐτιμωρήσατο. Εἶτα τὴν αἰτίαν τῆς ἀδιαλείπτου εὐχαριστίας εἰπών, ἑξῆς δεικνὺς τὸ μέγεθος τοῦ γεγονότος, ἐπάγει·

«Ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν»

159 Περιαγγελθήτω δέ, φησίν, τὸ γεγονὸς ἅπασι τοῖς ταπεινοῖς. «Πραεῖς» γὰρ ἐνταῦθα τοὺς ταπεινοὺς λέγει, ὥστε αὐτοῖς εὐφροσύνην ἐκ τῆς γνώσεως ἐκγενέσθαι. Οὕτω γάρ, φησίν, ἐστὶ μέγιστον καὶ παράδοξον τὸ γεγονὸς καὶ παρὰ πᾶσαν προσδοκίαν ἐκβάν, ὡς δεῖν μὲν αὐτὸ πᾶσι πανταχοῦ περιαγγελθῆναι τοῖς πραέσι, δυνατὸν δὲ εἶναι περιαγγελθὲν ἅπασι μεγίστην ἐμποιῆσαι τὴν εὐφροσύνην. Διὰ τί δὲ εἶπεν «Ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν»[2], «πραεῖς» λέγων τοὺς ταπεινούς; Ἐπειδὴ μάλιστα τούτους ηὔφρανεν ἡ τοιαύτη ἀκοὴ γνωρίζουσα θάνατον μὲν τῶν δυνατῶν, ἀπαλλαγὴν δὲ κινδύνων παραδόξως παρασχεθεῖσαν τοῖς ἀσθενέσιν. Εἶτα καὶ τρέπει τὸν λόγον πρὸς αὐτούς.

4 «Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί»

Μεγάλα φθέγξασθε περὶ αὐτοῦ[3], εἴπατε οἷα πρέπει τῷ μεγαλείῳ τοῦ Θεοῦ. Ἀναγκαίως δὲ καὶ κοινωνοὺς καλεῖ τῆς ὑμνῳδίας

1. Πρβλ. Γεν. 46,27. **2.** Ψαλ. 33,3. **3.** Πρβλ. Ψαλ. 33,4.

αὐτοῦ, ὡς πάντως καὶ αὐτῶν ἀπολαυσάντων τῆς τοιαύτης εὐεργεσίας τοῦ Θεοῦ ὀφείλοντος τιμωρεῖσθαι μὲν τοὺς δυνατοὺς ἐπὰν ἀδικεῖν ἐθέλωσιν, ἐπαμύνειν δὲ τοῖς ταπεινοῖς ἀδικουμένοις.

«Καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό»

Μετὰ μεγίστου ὕψους μνήμην αὐτοῦ ποιησώμεθα τοῦ ὀνόματος, ἀντὶ τοῦ μνημονεύσωμεν αὐτοῦ ὑψοῦντες αὐτὸν καὶ θαυμάζοντες. Τὸ δέ «ἐπὶ τὸ αὐτό», τουτέστι συμφώνως. Διὰ τί οὖν φησι καλεῖς τοὺς πραεῖς πρὸς τὸ συμφώνως καὶ ἅμα σοι τὴν ὑμνῳδίαν ἀναπέμψαι;

5 «Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου»

160 Ἐπειδὴ ᾔτησα παρ' αὐτοῦ, φησί, τὴν βοήθειαν[1] καὶ ἔτυχον ὧνπερ ᾔτησα.

«Καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐῤῥύσατό με»

Καὶ πάντων με τῶν περιεχόντων κακῶν ἀπήλλαξε. Τί οὖν φησι τοῦτο πρὸς τοὺς πραεῖς; Ὅτι σὺ αἰτήσας ἔτυχες τῆς παρ' αὐτοῦ βοηθείας, ὥστε ἐκείνους ὑμνεῖν ἅμα σοι.

6 «Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε»

Ἐξέσται γάρ φησι καὶ ὑμῖν ὁμοίως προσελθοῦσιν αὐτῷ καὶ αἰτησαμένοις τὴν παρ' αὐτοῦ βοήθειαν τυχεῖν τῆς τε βοηθείας καὶ ἀντιλήψεως. Τὸ γάρ «φωτίσθητε»[2] ἀντὶ τοῦ ἀπολαύσατε αὐτοῦ τῆς βοηθείας, φωτισμὸν ἐνταῦθα καλῶν τὴν ἀντίληψιν ὡς ἀπαλλάττουσαν θλίψεως, ἥτις ὥσπερ σκότῳ τῇ ἀθυμίᾳ περιβάλλειν δύναται.

«Καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ»

Οὐδὲ γάρ ἐστιν ὑμᾶς προσδοκῶντας καὶ ἀπεκδεχομένους τὴν παρ' αὐτοῦ βοήθειαν αἰσχυνθῆναι ἐπὶ τῇ ἐλπίδι τῇ εἰς αὐτόν. «Τά» δέ «πρόσωπα ὑμῶν» εἶπεν, ἐπειδὴ ὅταν τινὰ προσδοκῶμεν τὰ πρόσωπα ἀνατείνειν εἰώθαμεν περιμένοντες αὐτοῦ τὴν παρουσίαν.

---

1. Πρβλ. Ψαλ. 33,5. 2. Ψαλ. 33,6.

7 «Οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν»

Πάλιν εἰς ἑαυτὸν ἀνατρέχει, δι' ὅλων ἐν τῇ προτροπῇ τὴν ἀπόδειξιν τῶν λεγομένων ἐκ τῶν καθ' ἑαυτὸν παρεχόμενος. Δῆλον γάρ φησιν ὅτι πάντως ἐπαμυνεῖ τοῖς ἐπ' αὐτὸν ἐλπίζουσιν, ἐξ' ὧν οὗτος ὁ εὐτελὴς καὶ ταπεινός, ἵνα εἴπῃ· Ἐγὼ κεκραγὼς πρὸς τὸν Δεσπότην καὶ εἰσηκούσθην καὶ ἐκ πάσης ἐρρύσθην θλίψεως[1]. «Πτωχόν» δὲ αὐτὸν καλεῖ τῇ τε οἰκείᾳ δυνάμει καὶ τῇ τῶν ὑπηκόων εὐτελείᾳ πτωχότατόν τε ὄντα πρὸς παράθεσιν τῆς τῶν Ἀσσυρίων δυνάμεως, οἳ πλήθει τῶν **161** στρατοπέδων ἦσαν λαμπροὶ καὶ τῷ πλήθει τῶν ἵππων περίβλεπτοι. Εἶτα ἀκολούθως ἐπάγει καὶ τὰ ἑξῆς.

8 «Παρεμβαλεῖ Ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς»

Ὑπισχνεῖται γὰρ αὐτοῖς Ἄγγελον τοῦ Θεοῦ σύμμαχον ἔσεσθαι κυκλοῦντα αὐτοὺς καὶ ἐπαμύνοντα, οὕτω τε πάσης θλίψεως αὐτοὺς ῥυόμενον. Τὸ γάρ «παρεμβαλεῖ»[2] ἀντὶ τοῦ συμμαχήσει λέγει, ἐπειδὴ παρεμβολὰς ἔθος τὰ στρατόπεδα καλεῖν τῇ θείᾳ Γραφῇ. Τοῦτο δὲ γέγονεν ἐπὶ τοῦ Ἐζεκίου· Ἄγγελος γὰρ Κυρίου πατάξας τοὺς Ἀσσυρίους, τούτους ἀπήλλαξε τῶν κακῶν[3]. Τὸ δέ «κύκλῳ» λέγει πολλὴν ἀσφάλειαν ἔσεσθαι αὐτοῖς ἐκ τῆς τοῦ Ἀγγέλου βοηθείας, φάσκων ἀπὸ τοῦ τοὺς ἐν μέσοις ὄντας καὶ ἀσφαλείᾳ τινὶ κεκυκλωμένους ἢ τείχους ἢ ἀνθρώπων ἀνεπηρεάστους εἶναι τοῖς ἐναντίοις. Ἀνωτέρω δὲ τὸν λόγον ἁπλῶς πρός «πραεῖς»[4] ποιούμενος, ἐνταῦθά φησι, «κύκλῳ τῶν φοβουμένων αὐτόν», ὡς ἂν μὴ οἰηθῇς ὅτι πρὸς πάντας ἁπλῶς αὐτῷ τοὺς εὐτελεῖς ὁ λόγος, ἀλλὰ ‹πρὸς› τοὺς ἐκ προαιρέσεως ἐν τῇ καρδίᾳ τὴν ταπείνωσιν κεκτημένους καὶ στέργοντας μὲν τὴν σωματικὴν εὐτέλειαν, κεκτημένους δὲ τὸν δεσποτικὸν φόβον. Εἶτα ὑποσχόμενος αὐτοῖς ἐλπίζουσιν ἐπὶ τὸν Θεόν, εἰ ἐπιβουλεύοιντο ὑπὸ τῶν ἐχθρῶν, τὴν διὰ τοῦ Ἀγγέλου παρασχεθήσεσθαι βοήθειαν,

---

1. Πρβλ. Ψαλ. 33,7. **2.** Ψαλ. 33,8. **3.** Πρβλ. Δ' Βασ. 19,35. Β' Παρλ. 32, 20-22. Ἡσ. 37,36. **4.** Ψαλ. 33,3.

ἐπειδὴ τοιοῦτο καὶ ἐπὶ τῶν κατὰ τὸν Ἐζεκίαν ἐγεγόνει, τῇ τε μνήμῃ τῶν κατ' ἐκεῖνον διόλου τῶν λεχθέντων παρέσχετο τὴν ἀπόδειξιν καὶ τῆς ὑποσχέσεως τὴν πίστιν φησί·

9 «Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος»

Ὅτι γὰρ οὕτω ταῦτα ἔχει φησί, καὶ ὅτι Ἄγγελος συμμαχεῖ τοῖς φοβουμένοις αὐτὸν ἀπαλλάττων αὐτοὺς πάσης θλίψεως, πεῖραν λάβετε ἀπὸ τῶν ἀρτίως γεγονότων. Τὸ γάρ «γεύσασθε», — ἀντὶ τοῦ λάβετε τῶν ἔργων τὴν πεῖραν —, ἀπὸ τῶν μέλιτος καὶ οἴνου καὶ τῶν τοιούτων, ὁποῖόν ἐστι κάλλιστον ἢ τὸ ἐναντίον ἀπὸ τῆς γεύσεως, τὴν πεῖραν λαμβανόντων· πρὸς δὲ ἀπόδειξιν τῆς τοῦ Ἀγγέλου συμμαχίας εἰρηκὼς τό «γεύσασθε καὶ ἴδετε»[1], ἐπήγαγε τό «ὅτι χρηστὸς ὁ Κύριος», τοῦτο βουλόμενος εἰπεῖν ὅτι χρηστότητι καὶ ἀγαθότητι τῇ περὶ τοὺς εὐεργετουμένους τὴν τοῦ Ἀγγέλου συμμαχίαν παρέχεται.

«Μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ' αὐτόν»

162 Καλῶς μετὰ τὴν τῶν λεχθέντων ἀπόδειξιν τὸν μακαρισμὸν ἐποιήσατο, ὅτε οὐχ ἀμφίβολος ἐδόκει τοῖς ἀκροαταῖς ὁ μακαρισμὸς εἶναι. Μετὰ γὰρ τὸ προτρέψασθαι ἐλπίζειν ἐπὶ τὸν Θεὸν καὶ εἰπεῖν ὅτι βοηθείας πάντως τεύξεσθαι, καὶ ὥσπερ ἀποδείξεσι βεβαιῶσαι τὴν τοῦ πράγματος ἀλήθειαν, ἑξῆς ἐπήγαγε τό «μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν», τοῦτο λέγων ὅτι τούτων οὕτως ἐχόντων μακαριστὸς ὁ ἐλπίζων ἐπὶ τὸν Θεὸν τοσαύτης βοηθείας καταξιούμενος.

10 «Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ»

Τοὺς αὐτοὺς καλεῖ καί «πραεῖς»[2] καὶ φοβουμένους τὸν Κύριον[3] καὶ ἁγίους· πραῢν γὰρ καλεῖ τὸν ἐπιεικείᾳ τρόπων τοιοῦτον καθεστῶτα, ὃν ἐπ' ἀνάγκης ἐστὶ φόβῳ τοιοῦτον εἶναι τῷ περὶ τὸν Δεσπότην. Δῆλον δὲ ὡς ὁ τὸν Θεὸν φοβούμενος ἀκριβὴς μέν ἐστι φύλαξ τῶν προσταγμάτων αὐτοῦ, μετέχει δὲ καὶ ἁγιωσύνης εἰκότως. Πολλὴ δέ ἐστι τῶν ῥημάτων ἡ τάξις. Πρότερον γὰρ αὐτοῖς προσέταξεν αἰνέσαι ἅμα αὐτῷ τὸν Θεὸν ὡς τοῦ μὲν Θεοῦ πάντως

---

1. Ψαλ. 33,9. **2.** Ψαλ. 33,3. **3.** Πρβλ. Ψαλ. 33,3,10.

σῴζοντος τοὺς τοιούτους, αὐτῶν δὲ ἐξ ἀνάγκης ἀπολαυόντων τῆς χάριτος, τῇ δὲ ὁμοιότητι τῶν τρόπων ὁμοίας καὶ τῆς δωρεᾶς καταξιωθησομένων. Εἶτα προτρέπει βεβαιῶν ἐπὶ τὴν τοῦ Θεοῦ ἐλπίδα. Χρεία γὰρ καὶ ἐλπίδος ἦν τοῖς μέλλουσιν ἅμα αὐτῷ ἐπὶ τοῖς τοιούτοις δοξάζειν τὸν Θεόν, ἵνα βεβαίως ἐλπίζοντες οὕτως ὑπὲρ τῶν γεγενημένων εὐχαριστῶσι, πιστεύοντες ὡς καὶ αὐτοὶ τεύξωνται τῶν ὁμοίων ἐν καιρῷ. Διὸ καὶ βεβαιοτέραν αὐτοῖς τὴν ἐλπίδα κατασκευάζων, ὑποδείγμασί τε τοῖς τῶν γεγενημένων πείθει πρὸς τοῦτο καὶ μακαρισμοῖς τοῖς προσήκουσι. Μετὰ δὲ τὴν τῆς ἐλπίδος βεβαίωσιν καὶ τὴν τῆς ὑμνῳδίας παραίνεσιν, καὶ φοβεῖσθαι αὐτοῖς τὸν Δεσπότην παρακελεύεται λέγων· «φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ»[1], δεικνὺς ὡς χρεία καὶ ὕμνων καὶ ἐλπίδος καὶ φόβου, ὕμνων μὲν ὥστε εὐχαρίστους καὶ ἐπὶ τοῖς ἤδη γεγενημένοις δείκνυσθαι, ἐλπίδος δὲ ὥστε μελλόντων ἑαυτοὺς ἀξίους ἀποδείκνυσθαι, φόβου δὲ ὥστε ἐπιμελεῖς εἶναι περὶ τὴν ἀρετήν.

«Ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν»

Τουτέστιν οὐδὲ γὰρ ἀκερδὴς ὁ φόβος τοῦ Θεοῦ τοῖς κεκτημένοις αὐτόν, ἀλλὰ καὶ μάλα ἐπωφελής· ἐνδεῖ γὰρ αὐτοῖς οὐδὲν τῶν καλῶν.

11 «Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ»

163 Εἰπὼν «ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν»[2], τὸ μεῖζον ἐπήγαγεν ἑξῆς· «Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ»[3]. Οὕτως γὰρ αὐτούς, φησίν, οὐδενὸς ἐνδεεῖς ἐγχωρεῖ γενέσθαι, ὅτι πολλῷ δυνατώτερόν ἐστι καὶ εὐχερέστερον πλούσιον ἐν πενίᾳ καὶ πείνῃ ἐξετασθῆναι ἢ τὸν ἐκδεχόμενον τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν καὶ αἰτοῦντα τὴν παρ' αὐτοῦ σωτηρίαν ἐνδεῆ γενέσθαι τινὸς ἀγαθοῦ. Μέχρι τούτου τὸν πρὸς τοὺς δικαίους στήσας λόγον καὶ βεβαιώσας μὲν αὐτοὺς ἐν τῇ τοῦ Θεοῦ ἐλπίδι, συναινέ-

---

1. Ψαλ. 33,10. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 33,11.

σαι δὲ ἐπὶ τοῖς γεγενημένοις τῷ μακαρίῳ Ἐζεκίᾳ παρακελευσάμενος, ἔχειν δὲ καὶ τὸν φόβον τοῦ Θεοῦ παρεγγυήσας, — ἅπαντα μέντοι ὡς ἐκ προσώπου τοῦ Ἐζεκίου εἰπὼν ὡς ἂν ἁρμοττόντων αὐτῷ κατ' ἐκεῖνο καιροῦ τῶν τοιούτων λόγων —, ἐντεῦθεν λοιπὸν καὶ τῇ οἰκείᾳ κεχρημένος ἀκολουθίᾳ, ὡς ἂν ἐξ αὐτοῦ λέγων καὶ ταῦτα, κοινὴν πρὸς ἅπαντας ἐκφέρει παραίνεσιν ἁρμόττουσαν μὲν καὶ τοῖς ἐπ' αὐτοῦ, ἁρμόττουσαν δὲ καὶ τοῖς ἐπὶ τοῦ μακαρίου Ἐζεκίου, οὐδὲν δὲ ἔλαττον παιδεύειν καὶ τοὺς ἑξῆς ἅπαντας δυναμένην. Ἔν τε τῇ παραινέσει τοῖς τε εὐαρεστεῖν ἐσπουδακόσι Θεῷ τὰ αὐτὰ ὑπισχνεῖται ἔσεσθαι τοῖς ὑπὸ τοῦ μακαρίου Ἐζεκίου γεγονόσι πρὸς εὐεργεσίαν τῶν Ἰσραηλιτῶν, καὶ πάλιν τοῖς πολλὴν ἔχουσι τῶν κακῶν τὴν μελέτην τὰ ὅμοια ἔσεσθαι φάσκειν τοῖς ὑπ' αὐτοῦ κατὰ τῶν Ἀσσυρίων γεγονόσι, εἰ τοῖς κακοῖς ἐπιμένοιεν, ἀκόλουθά τε τῇ ὑποθέσει φθεγγόμενος τοῦ ψαλμοῦ καὶ τὴν ἀλήθειαν τοῖς λεγομένοις ἀπὸ τῶν πραγμάτων εἰκότως μαρτυρῶν. Τούτου γὰρ ἕνεκεν πολλαχοῦ μὲν ἑτέρωθι καὶ ἐν τούτῳ δὲ τῷ ψαλμῷ διόλου ἔνθα ἑτέρους προτρέπεται τῶν ὁμοίων τῇ ὑποθέσει μνημονεύει καί φησι·

12 «Δεῦτε, τέκνα, ἀκούσατέ μου· φόβον Κυρίου διδάξω ὑμᾶς»

Τό «δεῦτέ»[1] φησι συγκαλῶν ἅπαντας ἐσπουδασμένως ἐπὶ τὴν τῶν λεγομένων ἀκρόασιν ὡς ἀναγκαίων. «Τέκνα» δὲ αὐτοὺς καλεῖ, τὴν ἑαυτοῦ διάθεσιν καὶ τὸ τῆς παραινέσεως γνήσιον ἀπὸ τῆς φωνῆς δεικνύς. **164** Καλῶς δὲ τό «φόβον Κυρίου διδάξω ὑμᾶς».

Ἐπειδὴ γὰρ ἀνωτέρω εἶπε «Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ»[2], ἵνα μὴ δόξῃ τὸν φόβον τὸν δεσποτικὸν εἰς τοὺς ἁγίους μόνον ἱστᾶν, συγκαλέσας ἅπαντας πρὸς τὴν ἀκρόασιν, «Δεῦτέ» φησι, διδάχθητε τόν «φόβον»· ἀναγκαῖα γάρ ἐστι καὶ ἐπωφελὴς ἅπασιν ἡ γνῶσις τοῦ φόβου.

Διὰ τοῦτο, ὅπου μὲν ἁγίων μνημονεύει, οὐ λέγει «διδάξω ὑμᾶς», ἀλλ' ἁπλῶς «φοβήθητε»[3] — ὑπομνήσεως γὰρ μόνης ἦν χρεία τοῖς τοιούτοις —, ὅπου δὲ κοινὴν πρὸς ἅπαντας ποιεῖται

---

1. Ψαλ. 33,12. **2.** Ψαλ. 33,10. **3.** Ἔνθ' ἄν.

τὴν παραίνεσιν, ἐκεῖ τό «διδάξω» προστίθησιν, ὡς διδαχῆς προσδεομένων· ἀνάγκη γὰρ τοιοῦτο τὸ πλῆθος εἶναι.

13 «Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἰδεῖν ἡμέρας ἀγαθάς;»

Μετὰ τὸ συγκαλέσαι καὶ διδάσκειν, ἐπαγγείλασθαι ἀναγκαίως προτέθεικε τοῦτο τῆς διδασκαλίας, τῆς ἑκάστου προθέσεως ἐξάπτων τὸ πρᾶγμα. Εἴ τις, οὖν ἐστί φησιν ἐν ἀνθρώποις ζωῆς ἐφιέμενος καὶ ἐπιθυμῶν «ἡμέρας ἀγαθάς»[1], τουτέστιν ἀνέσεώς τε καὶ τοῦ ἀπολαῦσαι τῶν παρὰ τοῦ Θεοῦ καλῶν, οὗτος παιδευθήτω τὰ λεγόμενα, — δεικνὺς ὅτι χρεία μετὰ τῆς αὐτοῦ διδαχῆς καὶ τῆς ἑκάστου προθυμίας, ἐξ ἧς τὸ ὑπακούειν τῷ βουλομένῳ προσγίνεται. Ἑξῆς δὲ λοιπὸν καὶ αὐτὴν ἐπάγων τὴν διδασκαλίαν φησί·

14 «Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον»

165 Ἐπειδὴ δὲ ἔμελλεν ἀπὸ τῶν κατὰ τὸν Ἐζεκίαν καὶ τῆς εὐεργεσίας τοῦ Θεοῦ καὶ τῆς τιμωρίας μνημονεύειν, εἰκότως καὶ ἐν τῇ ἀπαγορεύσει τῶν κακῶν ταῦτα μάλιστα αὐτοῖς ἀπαγορεύει ἃ πραχθέντα τοῖς Ἀσσυρίοις μεγίστην ἤνεγκεν αὐτοῖς τῆς τιμωρίας τὴν ἀπόφασιν. Ἀπόσχου τοίνυν, φησί, παντὸς ῥήματος ἀτόπου, ἀλλὰ καὶ παντὸς δόλου[2] καθαρεύειν σπούδαζε. Ταῦτα γὰρ μάλιστα πέπρακτο τῷ Ῥαφάκει[3] κακὰ μὲν καὶ σφόδρα κάκιστα φθεγξαμένῳ, ἡνίκα ὑπερηφάνῳ γλώσσῃ τήν τε πόλιν αἱρήσειν ἠπείλει καὶ τὸν Θεὸν μηδὲν ἔφασκεν ἰσχύειν, ἀλλὰ καὶ κρατήσειν ἁπάντων ἀπεφήνατο ‹τὸν βασιλέα› τῶν Ἀσσυρίων οὐδὲν αὐτῶν τοῦ Θεοῦ προστῆναι δυναμένου, ὡς οὐδὲ τὰ λοιπὰ ἔθνη ὤνησέ τι τῶν παρ᾽ αὐτοῖς θεῶν ἡ ἰσχύς. Δολερὰ δὲ ἐφθέγγετο, ἡνίκα αὐτοῖς προσδεδωκόσι τὴν πόλιν καὶ δεξαμένοις τὸν βασιλέα ὑπισχνεῖτο γῆς πλουσίας παρέξειν ἀπόλαυσιν καὶ πολλῶν ἀγαθῶν μετουσίαν.

---

1. Ψαλ. 33,13. **2.** Πρβλ. Ψαλ. 33,14. **3.** Πρβλ. Δ' Βασ. 18,28-35. Ἠσ. 36,13-20.

15 «Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»

Ἀλλὰ μὴ μόνον, φησίν, ἀπέχου τοῦ κακοῦ[1], — οὐ γὰρ ἀρκεῖ — σπούδαζε δὲ καὶ τὸ καλὸν διαπράττεσθαι.

«Ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν»

Πανταχοῦ ὡς φιλοπολέμους αἰτιᾶται τοὺς Ἀσσυρίους ὁ Προφήτης· ἀκολούθως οὖν καὶ τοῦτο αὐτοῖς ἀπαγορεύει τὸ πάθος, ὅπερ μάλιστα νοσοῦντες, ἐκεῖνοι μεγίστην ὑπέστησαν τὴν τιμωρίαν, πείθων αὐτοὺς τὴν πρὸς πάντας εἰρήνην ἀσπάζεσθαι καὶ φιλίαν, μισεῖν δὲ πόλεμον καὶ ἔριδας καὶ ὅσα τοιαῦτα. Διὰ τί δὲ προσήκει μετὰ πολλῆς τῆς σπουδῆς ἀπέχεσθαι μὲν τῶν κακῶν, μεταδιώκειν δὲ ὅσα χρηστὰ ἑξῆς φησι, τὸ ἐπὶ τῶν Ἀσσυρίων καὶ τῶν Ἰσραηλιτῶν γεγονὸς ἐξηγούμενος ὡς ἐπὶ παντὸς τοιούτου παρὰ Θεοῦ γινόμενον.

16 «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους»

166 Προνοεῖ γάρ φησι τῶν δικαίων ὁ Θεός· ὀφθαλμοὺς[2] γὰρ ἐνταῦθα οὐχ ἁπλῶς καλεῖ τὸ ἐποπτικόν, ἀλλὰ τὸ ἐπὶ εὐεργεσίᾳ καὶ προνοίᾳ παρὰ τοῦ Θεοῦ γινόμενον.

«Καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν»

Καὶ προσίεται αὐτῶν, φησί, τὰς αἰτήσεις.

17 «Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά»

Ἐποπτεύει δέ φησι καὶ τοὺς κακούς, οὐχ ὁμοίως δὲ τοῖς ἀγαθοῖς, ἀλλ' ὥστε τί;

«Τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν»

Διὰ ταῦτα οὖν φησι περισπούδαστον ὑμῖν εἶναι προσήκει τὴν δικαιοσύνην, ἐπειδήπερ ὁ Θεὸς πολλὴν μὲν ἐπιδείκνυται περὶ τοὺς δικαίους τὴν πρόνοιαν, προσδεχόμενος αὐτῶν καὶ τὰς ἱκεσίας, ἀποβλέπων δὲ καὶ πρὸς τοὺς τὰ ἄτοπα διαπραττομένους παντελῆ τὸν ἀφανισμὸν αὐτοῖς ἐπάγει[3]. Καὶ τίς τούτου ἡ ἀπόδειξις, τὸ γεγονὸς ἐξηγεῖται, διὰ τοῦτο ταῦτα εἰρηκὼς γίγνεσθαι παρὰ τοῦ

---

1. Πρβλ. Ψαλ. 33,15. **2.** Πρβλ. Ψαλ. 33,16. **3.** Πρβλ. Ψαλ. 33,17.

Θεοῦ ἵνα τῇ ὁμοιότητι τοῦ γεγονότος διὰ τῆς μνήμης βεβαιώσῃ τῶν λεγομένων τὴν ἀλήθειαν.

18 «Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς»

Δικαίους ἐνταῦθα καλεῖ τοὺς Ἰσραηλίτας, συνηθῶς ἀπὸ τῆς γνώσεως οὕτω καλῶν πρὸς ἀντιπαράθεσιν τῶν Ἀσσυρίων. Ἰδοὺ γάρ, φησί, τούτων βοησάντων εἰσήκουσε, πάσης αὐτοὺς ἀπαλλάξας θλίψεως[1].

19 «Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν»

Ἀλλὰ καὶ σφόδρα, φησίν, ἐπιμελεῖται πάντων τῶν ταπεινῶν ὁ Θεός, οἰκειοῦσθαι αὐτοὺς σπουδάζων· τὸ γάρ «ἐγγύς»[2] τὴν διάθεσιν λέγει καὶ τὴν σχέσιν. «Συντετριμμένους» δέ «τὴν καρδίαν» ἐκάλεσε τοὺς ταπεινούς, τοὺς μηδένα ὑπέρογκον λογισμὸν κεκτημένους, ἀλλὰ σφόδρα ἑαυτοὺς εὐτελεῖς ὑποπτεύοντας εἶναι καὶ ἀσθενεῖς καὶ μηδεμίαν μεγίστην ὑπόληψιν περὶ ἑαυτῶν κεκτημένους, ἐπειδὴ συντετριμμένον τὸ ἀσθενὲς καλεῖν εἰώθαμεν.

«Καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει»

167 Φανερώτερον αὐτὸ ἐνταῦθα εἶπεν. Ἔδειξε γὰρ ὅτι «ταπεινούς» καί «συντετριμμένους τὴν καρδίαν» οὐχ ἁπλῶς τοὺς ἀπὸ συμφορῶν τοῦτο πάσχοντας καλεῖ, ἀλλὰ τοὺς τῷ λογισμῷ καὶ τῇ προθέσει τοιούτους, οἳ κἂν ἐν συμφοραῖς ἐξετασθῶσιν, ἀπὸ τῆς κατὰ τοὺς λογισμοὺς ταπεινώσεως ἄξια πάσχειν νομίζοντες, μετὰ τῆς προσηκούσης εὐλαβείας αἰτοῦντες τοῦ Θεοῦ τὴν βοήθειαν, λαμβάνουσι ταύτης τὴν ἀπόλαυσιν. Δῆλον οὖν ἐντεῦθεν ὅτι καὶ ἀνωτέρω λέγων «Ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν»[3], οὔτε τοὺς ἀπὸ συμφορῶν ἀνάγκης «ταπεινούς» καλεῖ, οὔτε τοὺς ἀπὸ φύσεως τοιούτους καθεστῶτας, — οὓς ἐν τῇ συνηθείᾳ πραεῖς οἱ πολλοὶ καλοὶ φιλοῦσιν —, ἀλλὰ τοὺς τῇ καρδίᾳ καὶ τῇ προθέσει τοιούτους, οἳ δείκνυνται ὅταν γενναίως τὰς εἰς αὐτοὺς ἀδικίας φέρειν σπουδάζωσιν, ἐκδεχόμενοι τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν. Τοῦτο γάρ ἐστι πρᾳότης, οὐχὶ τὸ ἀκίνητον, οὐδὲ τὸ πάντη παρα-

---

1. Πρβλ. Ψαλ. 33,18. **2.** Ψαλ. 33,19. **3.** Ψαλ. 33,3.

σιωπᾶν παραλιμπάνοντα τὴν κίνησιν καὶ ἐφ' ὧν πολλάκις ἀναγκαῖα καθέστηκεν, ὅταν μέγιστον ἀγαθὸν ἐργάζεσθαι δύναται. Εἶτα ἐπειδὴ διόλου ἐπηγγείλατο τοῖς δικαίοις τοῦ Θεοῦ τὴν χορηγουμένην βοήθειαν, — πολλάκις δὲ ἐν μεγίστοις κακοῖς καὶ ἐν πολλαῖς θλίψεσι τοὺς δικαίους ἐξετάζεσθαι συμβαίνει —, ἀκολούθως ἐπήγαγε·

20 «Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς»

Κἂν ἐν πολλοῖς δέ φησιν ἐξετασθῶσί ποτε τοῖς κακοῖς καὶ ἐν πολλαῖς θλίψεσιν[1], — τοῦτο τοῦ Θεοῦ συγχωροῦντος διὰ τὸ συμφέρον —, ἀλλὰ πάντως αὐτοὺς ἀπαλλάττει τῶν κακῶν, οὐκ εἰς τέλος ἐῶν ταῖς συμφοραῖς περικεῖσθαι. Καὶ ἐπειδὴ εἶπεν ὅτι κἂν ἐν πολλαῖς ἐξετασθῶσιν οἱ δίκαιοι ταῖς θλίψεσιν, ἀλλ' οὖν γε πάντως αὐτοὺς ὁ Θεὸς ἀπαλλάττει, ἐγχωρεῖ δὲ τὸν ἐν πολλαῖς θλίψεσιν ἐξεταζόμενον ἐν ὅσῳ τῆς τοῦ Θεοῦ τυγχάνῃ βοηθείας καί τι καὶ παθεῖν ὑπὸ τοῦ πλήθους τῶν θλίψεων, ἐπήγαγεν·

21 «Κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται»

Καὶ οὐδὲ ἐν ταῖς θλίψεσιν ὄντας, φησίν, ἁπλῶς ἐᾷ πάσχειν ὑπὸ τῶν θλιβόντων, ἀλλὰ συγχωρεῖ μὲν τὰς θλίψεις τέως διὰ τὸ συμφέρον, μετὰ ταῦτα ῥυόμενος, καὶ ἐν μέσαις δὲ ταῖς θλίψεσιν ὄντας ἀνεπηρεάστους πρὸς βλάβην καθίστησι, πᾶσαν αὐτῶν διαφυλάττων τὴν ἰσχύν. Τοῦτο γὰρ λέγει «πάντα τὰ ὀστᾶ αὐτῶν»[2], τουτέστιν ὡς μηδένα κίνδυνον αὐτοὺς ὑποστῆναι βαρύν. Διὰ τοῦτο καλῶς εἶπεν «οὐ συντριβήσεται», τουτέστιν οὐδένα κίνδυνον ὑποστήσεται, ἐπειδὴ τὸ συντριβόμενον εἰς παντελῆ πέφυκε χωρεῖν ἀφανισμόν.

22 «Θάνατος ἁμαρτωλῶν πονηρός»

168 Καλῶς ἐνταῦθα προσέθηκε τό «πονηρός»[3], ἵνα εἴπῃ ὅτι καί «ὁ θάνατος» τῶν τοιούτων «πονηρός». Ὥσπερ γὰρ ἐπὶ τῶν δικαίων φησίν, ὅτι φυλάξει αὐτοὺς καὶ ἐν ταῖς θλίψεσιν, ὥστε μηδὲν

1. Πρβλ. Ψαλ. 33,20. 2. Ψαλ. 33,21. 3. Ψαλ. 33,22.

ἐπικίνδυνον ἢ ἀδιόρθωτον παθεῖν κακόν, τῆς περὶ αὐτοὺς προνοίας τὸ μέγεθος ἐξηγούμενος διὰ τούτου, οὕτως καὶ ἐπὶ τῶν «ἁμαρτωλῶν» τὸ ἐναντίον φησίν, ὅτι καὶ ὁ θάνατος αὐτῶν οὐ κοινός ἐστι τοῖς λοιποῖς ἀνθρώποις καὶ ὅμοιος, ἀλλ' ἔχει τι πλέον καὶ βαρύτερον, ἀπὸ τῶν παρόντων καὶ τοῦτο ἐξηγούμενος τοῦτον γεγενημένον τὸν τρόπον. Οἱ μὲν γὰρ περὶ τὸν μακάριον Ἐζεκίαν ἐξητάσθησαν μὲν ἐν θλίψεσι καὶ λύπαις, περιεστηκότων τὴν πόλιν τῶν Ἀσσυρίων, ἔπαθον δὲ δεινὸν ἢ ἀνήκεστον οὐδέν, οἱ δέ γε Ἀσσύριοι καὶ τὸν θάνατον ὑπέμειναν φοβερόν, οὕτως αἰφνίδιον τῇ πληγῇ τοῦ Ἀγγέλου ἀναιρεθέντες[1].

«Καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν»

Καὶ οὐ μόνον φησὶν οἱ ἁμαρτωλοὶ τοιαῦτα πάσχουσιν, ἀλλὰ καὶ οἱ ἀπεχθῶς πρὸς τὸν δίκαιον ἔχοντες περιπεσοῦνται κακοῖς. Τοῦτο δέ φησι δεικνὺς ὅσην ποιεῖται ὁ Θεὸς τοῦ δικαίου τὴν πρόνοιαν. Τὸ δέ «πλημμελήσουσί» φησιν ἀντὶ τοῦ πταίσουσι, σφαλήσονται, ἁμαρτήσονται τοῦ σκοποῦ τῆς κατὰ τοῦ δικαίου ἔχθρας ὑπὸ τοῦ Θεοῦ τιμωρηθέντες· πλημμελῆσαι γὰρ λέγεται τὸ ἁμαρτεῖν, ἁμαρτεῖν δὲ τὸ ἀποτυχεῖν τῆς προθέσεως καὶ τοῦ σκοποῦ ἐκτὸς καταστῆναι, — ὅθεν καὶ ἁμαρτίαν τὴν ἄτοπον πρᾶξιν καλοῦμεν ὡς ἐκτὸς τοῦ πρέποντος καθισταμένου τοῦ πράττοντος. Τοῦτο δέ φησι γίγνεται διὰ τί;

23 «Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ»

Ἐπειδὴ γὰρ ὁ Κύριος ἀπαλλάττει τοὺς οἰκείους δούλους πάσης συμφορᾶς, ἀνάγκη τοὺς ἀπεχθῶς καὶ πολεμίως πρὸς αὐτοὺς διακειμένους τιμωρίαις περιπίπτειν. Τὸ δέ «λυτρώσεται»[2] ἀντὶ τοῦ ἀπαλλάξει, ἀπὸ τῶν τοὺς ἐν αἰχμαλωσίᾳ ληφθέντας καὶ παρ' ἀξίαν δουλεύοντας δώροις τῆς δουλείας ἐξαιρουμένων· λύτρα γὰρ λέγεται τὰ τοιαῦτα δῶρα.

«Καὶ οὐ μὴ πλημμελήσουσιν πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν»

169 Διὰ τοῦτο, φησίν, οἱ μὲν τοῖς δικαίοις πολεμοῦντες ἀπο-

---

1. Πρβλ. Δ' Βασ. 19,32-35. Β' Παρλ. 32,21-22. Ἡσ. 37,33-36. **2.** Ψαλ. 33,23.

τεύξονται τοῦ σκοποῦ συμφοραῖς περιπεσόντες, οἱ δὲ ἐπὶ τὸν Δεσπότην ἐλπίζοντες, παντὸς ἐλεύθεροι κακοῦ διατηρούμενοι, οὐκ ἀποτεύξονται οὐδὲ σφαλήσονται τῶν ἐλπίδων.

Ψαλμὸς 34

[669] Ἐν τούτῳ τῷ ψαλμῷ τὰ κατὰ τὸν Ἱερεμίαν ὁ μακάριος προφητεύει Δαβὶδ τό τε ἐκείνου πρόσωπον ἀναλαβὼν ἐν τῇ προφητείᾳ ταῦτα φθέγγεται ἅπερ εἰκὸς ἦν ἐκεῖνον εἰπεῖν ἐν τῷ πράγματι καθεστῶτα, ταύτῃ μάλιστα κεχρημένος ἐν τοῖς πλείοσι τῇ συνηθείᾳ, λέγων τε ἅπερ ἐκείνοις εἰπεῖν ἁρμόττει περὶ ὧν ποιεῖται τὴν προφητείαν.

Διαλλάττει δὲ οὐδὲν ὁ ψαλμὸς ὅδε πλὴν τοῦ προσώπου τῶν περὶ τοῦ λαοῦ τοῦ ἐν Βαβυλῶνι. Κατὰ γὰρ τὸν αὐτὸν γενομένου καιρὸν τοῦ Προφήτου, κἀκεῖνα προλέγοντος ἐγ**170**γύθεν ἐσόμενα ἅπερ καὶ οἱ λοιποὶ πόῤῥωθεν ἔλεγον Προφῆται, καὶ διὰ τοῦτο ἅπαντα πάσχοντος ὑπὸ τοῦ λαοῦ ὅσα δὴ καὶ πέπονθε, τὸ τὰ περὶ ἐκεῖνον εἰπεῖν σαφῶς ἐστιν ἐκεῖνα εἰπεῖν πρὸς τὸ δεῖξαι ὅτι καὶ δικαίως ἔπασχον, οὐδὲ τῷ πλησίον τῶν καιρῶν Προφήτῃ πειθόμενοι ὅτε καὶ ἡ ἔκβασις ἐγγύθεν ἐπιστοῦτο τὴν πρόῤῥησιν τῶν λεγομένων.

Ποιεῖται δὲ τὴν περὶ τοῦ μακαρίου Ἱερεμίου προφητείαν ὁ μακάριος Δαβὶδ οὐ γὰρ ἁπλῶς, ἀλλ' ἐπειδὴ διόλου ἐν τοῖς πλείοσι τῶν Ψαλμῶν τὰ τοῖς λαοῖς συμβησόμενα προαγορεύει. Ὁμοῦ μὲν τοὺς ἐν συμφοραῖς ἐξεταζομένους ὠφελῶν, ἐξομολογεῖσθαί τε γὰρ ἐπαίδευεν αὐτοὺς ἐν ταῖς συμφοραῖς ὑπὲρ τῆς ἁμαρτίας καὶ εὐέλπιδας καθίστη διὰ τῆς τῶν καλῶν ὑποσχέσεως, ὁμοῦ δὲ καὶ πᾶσι κατάδηλον τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐργαζόμενος, ὅτι διὰ πάντων τῶν Προφητῶν οὕτω συνεχῆ τὴν προαγόρευσιν ἐποιήσατο τῶν συμβησομένων αὐτοῖς κακῶν, βουλόμενος ἐπιστρέψαντας φυγεῖν τῶν κακῶν τὴν πεῖραν.

Τοῦτο καὶ ἐνταῦθα ποιεῖ ἐπὶ τοῦ προφήτου Ἱερεμίου, ὃς παρ' αὐτὸν ἐγεγόνει τῆς αἰχμαλωσίας τὸν καιρόν, — δεικνὺς ὅση μὲν τοῦ Θεοῦ ἡ φιλανθρωπία, ὅτι καὶ παρ' αὐτοῖς ὄντας τοῖς κακοῖς
171 ἀπέστειλε τὸν Προφήτην[1], ἔτι καλῶν αὐτοὺς εἰς μετάνοιαν

1. Πρβλ. Ἱερ. κεφ. 28-32.

ὥστε τῶν ἐσομένων λυπηρῶν ἀνάκλησιν ἐργάσασθαι διὰ τῆς ἐκείνων μετανοίας, ὅπου δὲ ἐπέμενον ἐκεῖνοι ἔτι μὲν ἀπειθῶς ἔχοντες περὶ τὰς τοῦ Θεοῦ προαγορεύσεις, ἐπαχθῶς δὲ διακείμενοι καὶ πρὸς τὸν ἀποστελλόμενον· δι' ὧν ἁπάντων ἐδείκνυτο μὲν μάλιστα ἡ τοῦ Θεοῦ φιλανθρωπία καὶ τὸ δίκαιον, οὐκ ὠμότητι τῇ αἰχμαλωσίᾳ παραδεδωκότος αὐτοὺς καὶ τοῖς τότε κακοῖς, ἐδείκνυντο δὲ δικαίως τε καὶ ἀξίως τοῦ οἰκείου τρόπου τὴν τιμωρίαν δεχόμενοι. Τούτου δὴ ἕνεκεν εἰκότως ἐξηγεῖται τὰς τοῦ μακαρίου Ἱερεμίου ἀποδυσπετήσεις, ἃς ἐπὶ τῷ πλήθει τῶν ἐπαγομένων αὐτῷ παρὰ τῶν Ἰουδαίων κακῶν ἐποιεῖτο.

Τὸ μὲν γὰρ μέγεθος τῶν συμφορῶν καὶ τὰς τιμωρίας, ὅσας ἐπέτριβον τῷ Προφήτῃ καὶ ταῦτα αὐτοῖς τὰ μέλλοντα προαγορεύοντι ὑπὲρ τῆς ἐκείνων σωτηρίας, ἐδείκνυ διὰ τῶν τοῦ δικαίου ἀποδυσπετήσεων. Ἐποίει δὲ τοῦτο τὴν τοῦ Θεοῦ φιλανθρωπίαν κατάδηλον, ὅση τίς ἐστι περὶ τοὺς ἀπειθοῦντας μὲν τοῖς αὐτοῦ ῥήμασιν, ἐνυβρίζοντας δὲ καὶ τοὺς ἀποστελλομένους παρ' αὐτοῦ πάντας, καὶ οὕτω πληροῦντος ὅσα περὶ τῆς ἐκείνων σωτηρίας [ἕνεκεν] γενέσθαι προσῆκον ἦν, — καὶ ὅτι δικαίως τοιούτους ὄντας τιμωρίαις καὶ τοῖς τῆς αἰχμαλωσίας περιέβαλε κακοῖς.

Ἰστέον δὲ πρὸς τῇ αἰτίᾳ ταύτῃ καὶ ἑτέραν εἶναι τῆς τούτων προαγορεύσεως. Ἐπειδὴ γὰρ πλεῖστα μὲν αὐτὸς ἐν τοῖς ψαλμοῖς προφητεύων διετέλεσε τὰς ἐπαχθησομένας αὐτοῖς προλέγων συμφοράς, — πλεῖσται δὲ ὅσαι γεγόνασι περὶ τούτων καὶ παρὰ
172 τῶν λοιπῶν Προφητῶν αἱ προαγορεύσεις, ὑφ' ὧν οὐδαμῶς ἐντραπεὶς ὁ λαὸς ἠνέσχετο τῶν οἰκείων ἀποστῆναι πλημμελημάτων, — εἰκότως κατὰ τὸν Προφήτην τοῦτον προλέγει ἐν αὐτοῖς μὲν τοῖς κακοῖς προαγορεύονται, ὅτι καὶ σύντομον καὶ ἀκόλουθον τὴν ἔκβασιν ἐλάμβανεν, — οὐ μόνον δὲ οὐκ ἐπιστρέψαντα τοὺς ἁμαρτάνοντας, ἀλλὰ γὰρ καὶ προπαθόντα ὑπ' αὐτῶν καὶ ὑποστάντα μυρία ὅσα κακά[1], — δεικνὺς ὡς ἐπίστατο μὲν ὁ Θεὸς οὐ μεταβληθησομένους αὐτούς. Οὐκ ἀγνοίᾳ τε τούτου τὴν προαγόρευσιν ἐποιεῖτο, ἔλεγε δὲ ὅμως διὰ τῶν Προφητῶν, ὁμοῦ μὲν τοὺς καθ' ἑκάστην γενεὰν ὄντας καλοὺς ἐπιστηρίζων, — ἀνάγκη γὰρ

1. Πρβλ. Ἱερ. 33,8-24.

εἶναι τοιούτους, εἰ καὶ εὐαρίθμητοί τινες ὄντες ἐτύγχανον, — ὁμοῦ δὲ καὶ τοὺς κατ' αὐτὴν αἰχμαλωσίαν τοιούτους ἀμεταθέτους τῆς ἀρετῆς ἐργαζόμενος, οἳ τὴν τῶν κακῶν ἔκκαυσιν θεασάμενοι πρὸ πολλῶν προαγορευθεῖσαν γενεῶν, εἰκότως εὐλαβείᾳ καὶ φόβῳ τοῦ Θεοῦ τὴν ὀργὴν ἐκκλίνειν ἐσπουδακότες, ἐπιμένειν ἔσπευδον τῇ ἀρετῇ, αὐτῇ τῇ πείρᾳ διὰ τῆς ἐκβάσεως γνόντες ὅση **173** τοῖς ἁμαρτάνουσι παρὰ τοῦ Θεοῦ προσγίνεται ἡ τιμωρία.

Εἰκὸς δὲ ἦν καὶ τῶν τὰ φαῦλα διαπραττομένων πολλοὺς μὲν καὶ τῶν πρὸ τῆς αἰχμαλωσίας, τῷ φόβῳ τῆς τῶν κακῶν προαγορεύσεως, ἐγκόπτεσθαι τῆς ἐπὶ τὰ χείρω προόδου. Ἦν δὲ καὶ τοῦτο οὐ βραχὺ τοῖς παντελῆ τὴν ἐπὶ τὰ κρείττω μεταβολὴν οὐ δεχομένοις, πολλοὺς δὲ καὶ τῶν παρ' αὐτὸν τὸν τῆς αἰχμαλωσίας καιρόν, ἀπὸ τῆς ἐκβάσεως λοιπὸν τῶν προαγορευθέντων κακῶν, φόβῳ τὴν ἐπὶ τὰ κρείττω δέξασθαι μεταβολήν. Καὶ ταῦτα μὲν εἴρηται ὥστε τὴν αἰτίαν ἡμῖν εἶναι κατάδηλον, δι' ἣν πολλῶν Προφητῶν ταῦτα προαγορευσάντων, πλεῖστά τε ὑπὸ Ἰουδαίων διὰ τὴν περὶ τούτων προαγόρευσιν πεπονθότων, μόνων τῶν κατὰ τὸν Ἱερεμίαν ὁ μακάριος Δαβὶδ ἐποιήσατο τὴν ἐξήγησιν, δήλου πρὸ πάντων ἐκείνου καθεστῶτος, ὡς ἔθος αὐτῷ ποιεῖσθαι τῶν ἐσομένων τὴν προαγόρευσιν ἀπὸ προσώπου λέγοντι τῶν κατ' ἐκεῖνο καιροῦ γενησομένων τὰ ἁρμόττοντα, ὡς ὅταν τὰ τῶν Ἀσσυρίων προαγορεύῃ ἐκ προσώπου τοῦ Ἐζεκίου, λέγων τὰ τοῖς τε πράγμασι καὶ τῷ προσώπῳ κατάλληλα. Οὕτω γὰρ κἀνταῦθα τὰ ἐν Βαβυ**174**λῶνι ἤτοι τὴν ἐκεῖ αἰχμαλωσίαν τοῦ λαοῦ προαγορεύει ἐκ προσώπου τοῦ Ἱερεμίου, λέγων τὰ ἁρμόττοντα τῷ Προφήτῃ ἀπό τε τῶν καιρῶν καὶ τῶν γιγνομένων.

Πρὸς τὸ καὶ τῶν εἰρημένων ἡμῖν ἀρτίως ἐκοῦσαν παρέχεσθαι τὴν ἀπόδειξιν, ἔστι δὲ καὶ αὐτῇ τοῦ μακαρίου Ἱερεμίου ἐντετυχηκότα τῇ βίβλῳ εὑρεῖν ἐν πολλοῖς τὴν συμφωνίαν τῶν τε παρ' ἐκείνου λεγομένων ἢ καὶ εἰς αὐτὸν γεγονότων καὶ τῶν ὑπὸ τοῦ μακαρίου Δαβὶδ ἐν τούτῳ τῷ ψαλμῷ προαγορευομένων, ὥστε καὶ ἐνεῖναι μαθεῖν ἐντεῦθεν ὅση τις τοῦ Προφήτου ἡ ἀλήθεια ὡς πολλάκις καὶ τὰ πράγματα καὶ τὰ ῥήματα μετὰ πολλῆς φθέγξασθαι τῆς ἀκριβείας.

Ἐντεῦθεν μὲν γάρ φησί, «γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα»[1], παρὰ δὲ τῷ προφήτῃ Ἱερεμίᾳ «Διὰ τοῦτο γενέσθω ἡ ὁδὸς αὐτῶν αὐτοῖς ὀλίσθημα ἐν γνόφῳ»[2]. Καὶ ἐνταῦθα μέν φησιν «ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν»[3], ἐκεῖ δὲ ἐξηγεῖται ὁ Προφήτης ὡς τῶν τοῦ λαοῦ εἰρηκότων, «τηρήσατε τὴν ἐπίνοιαν αὐτοῦ, εἰ ἀπατηθήσεται, καὶ δυνησόμεθα αὐτῷ»[4]. Πάλιν ἐνταῦθα ὁ μακάριος Δαβίδ φησιν, «ἀναστάντες μοι μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον **175** ἠρώτων με»[5]· ἐκεῖ δὲ ἐξηγεῖται ὡς ὅτι καθ' ὃν καιρὸν ἡ τῶν Χαλδαίων δύναμις ἀνέβη ἐπὶ τὴν Ἱερουσαλήμ, ἐξελθόντος τοῦ προφήτου Ἱερεμίου πορευθῆναι εἰς γῆν Βενιαμεὶν ὥστε ἄρτον ἐκεῖθεν ὠνήσασθαι, συνέλαβεν αὐτόν τις Σαρουΐα συκοφαντῶν καὶ λέγων ὡς ὅτι πρὸς τοὺς Χαλδαίους φεύγειν πειρᾶται[6]. Ἀλλὰ καὶ τοῦ «ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν»[7], ὅπερ φησὶν ὁ μακάριος Δαβίδ, ὅμοιον εὑρήσεις καὶ παρὰ τῷ Προφήτῃ κείμενον Ἱερεμίᾳ· εὐχόμενος γάρ, φησί, τῷ Θεῷ κατ' αὐτῶν «εἰ ἀνταποδίδοται κακὰ ἀντὶ ἀγαθῶν»[8]. Καὶ ὅλως ἀκριβέστερον ἐντυγχάνοντα τῇ Βίβλῳ πολλήν ἐστιν εὑρεῖν πρὸς τὸν ψαλμὸν ὁμοιότητα τῶν ἢ γεγονότων εἰς αὐτὸν ἢ λεχθέντων παρ' αὐτοῦ. Οὕτω γὰρ καὶ τὸ ἀληθὲς τῆς προφητείας καὶ τὸ ἀκριβὲς δειχθήσεται ἔκ τε τῆς τῶν ῥημάτων συμφωνίας καὶ ἐκ τῆς τῶν πραγμάτων ὁμοιότητος.

1 «Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με»

Πρέπουσα ἀρχὴ τῷ μέλλοντι δικαίως αἰτεῖν παρὰ τοῦ Θεοῦ τὴν κατὰ τῶν ἀδικούντων αὐτὸν τιμωρίαν[9]. Ἐπειδὴ γὰρ ἡ δίκη καὶ ἡ ἀκρόασις τῶν πραγμάτων φανερὰν καθίστησι τὴν ἀλήθειαν, ἔμελλε δὲ ἀξιοῦν τὸν δικαίως κολάσαι τοὺς εἰς αὐτὸν ἁμαρτάνοντας δυνάμενον, δικάσαι αὐτὸν πρὸ τῶν ἄλλων ἁπάντων ἀξιοῖ τοὺς ἀδικοῦντας, ὅπερ ἦν πεποιθότος ὡς δικασθέντες καὶ ἐξετασθέντες τιμωρίαν ὑποστήσονται. Διὸ ἑξῆς ἐπάγει·

«Πολέμησον τοὺς πολεμοῦντάς με»

176 Τοῦτο αἰτῶν ὅπερ ἔδει τῇ ἐξετάσει τῶν πραγμάτων πάν-

---

1. Ψαλ. 34,6. **2.** Ἱερ. 23,12. **3.** Ψαλ. 34,7. **4.** Ἱερ. 20,10. **5.** Ψαλ. 34,11. **6.** Πρβλ. Ἱερ. 44,12-14. **7.** Ψαλ. 34,12. **8.** Ἱερ. 18,20. **9.** Πρβλ. Ψαλ. 34,1.

τως ἐψόμενον. Ἔδειξε δὲ ὁμοῦ καὶ τῆς κατ' αὐτῶν αἰτήσεως τὸ δίκαιον, ἐκεῖνα παθεῖν αὐτοὺς ἀξιώσας ἅπερ αὐτοὶ μάτην αὐτὸν διετίθεσαν.

2 «Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ καὶ ἀνάστηθι εἰς βοήθειάν μου»

Ὅπλα[1] λέγεται πάντα τὰ σκεύη τὰ πολεμικά, θυρεὸς δὲ ἡ τετράγωνος ἀσπίς, — ὅθεν καὶ τὴν προσηγορίαν τοῦ θυρεοῦ ἀπὸ τοῦ σχήματος ἔχει τῷ ἔχειν τι τῆς παρ' ἡμῖν λεγομένης θύρας ἀπομίμημα —, ἵνα οὖν εἴπῃ μεταχείρισαι τὰ ὅπλα, ὁπλίσθητι κατ' αὐτῶν ὑπὲρ τῆς εἰς ἐμὲ βοηθείας· τὸ δὲ ὅλον λέγει σωματικῶς, ἐπειδὴ παρ' ἡμῖν οἱ κατά τινων ὁπλιζόμενοι πάντως τιμωρίαν λαβεῖν τινα παρ' αὐτῶν καὶ ἀνελεῖν αὐτοὺς σπουδάζονται.

3 «Ἔκχεον ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με»

Φανερώτερον αὐτὸ λέγει Σύμμαχος· φησὶ γάρ, 'γύμνωσον λόγχην καὶ περίφραξον ἐξ ἐναντίας τῶν καταδιωκόντων με'. Τὸ δέ 'γύμνωσον' εἶπεν 'ἔκχεον', ἐπειδὴ καὶ τὸ ἐκχεόμενον ἀπό τινος ἀγγείου ὕδωρ ὥσπερ ἀποκεχρυμμένον ἔνδον πρὸ τούτου προβάλλεται καὶ δῆλον τοῖς ὁρῶσι καθίσταται, καὶ ἡ λόγχη σπωμένη ἐκ τῆς θήκης προβάλλεται καὶ γυμνοῦται. Οὐκ εἶπεν δὲ σπάσον ἢ ἕλκυσον ἐπειδὴ καμάτου χρείαν ἔχει καὶ χρόνου τὰ τοιαῦτα, ἀλλ' «ἔκχεον», ἀπὸ τοῦ μετὰ πολλῆς εὐχερείας ἐκχεῖν τὸ ὕδωρ τὸν βουλόμενον, ἵνα δείξῃ τὴν προσοῦσαν τῷ Θεῷ εὐχέρειαν ἐν τῇ κατὰ τῶν ἁμαρτανόντων τιμωρίᾳ. Καὶ σωματοποιήσας τὸ πρᾶγμα κέχρηται τῇ ἀκολουθίᾳ συνήθως· ἐπειδὴ γὰρ τοῦ ἀριστέως γυμνοῦντος τὴν λόγχην ἔθος ἐστὶν φυγῇ κεχρῆσθαι τοῖς πολε177μίοις, καί «ἔκχεον», φησί, «ῥομφαίαν καὶ σύγκλεισον ἐξ ἐναντίας τῶν καταδιωκόντων με»[2], τουτέστι κώλυσον αὐτοὺς φυγῇ χρήσασθαι ἐπὶ τὰ πρόσωπα χωρῆσαι βουλομένους· οὕτω γὰρ πάντες ὑποπεσοῦνται τῇ κολάσει τοῦ ξίφους. Σύμμαχος γὰρ τό «σύγκλεισον» φανερώτερον λέγει καί 'περίφραξον'.

---

1. Πρβλ. Ψαλ. 34,2. **2.** Ψαλ. 34,3.

«Εἰπὸν τῇ ψυχῇ μου Σωτηρία σου ἐγώ εἰμι»

Τό «εἰπόν» ὁ Προφήτης ὡς πρὸς τὸν Θεὸν λέγει παρακλητικῶς, οὐχ ὡς περὶ αὐτοῦ. Οὐ γὰρ τοῦτο βούλεται εἰπεῖν ὅτι ἐγὼ εἶπον, ἀλλ' ὅτι σύ «εἰπὸν τῇ ψυχῇ μου»[1] καὶ ἐπάγγειλαι σῴζειν αὐτήν, ἀντὶ τοῦ γενοῦ αὐτῇ σωτηρία. Τιμωρησάμενος, φησίν, ἐκείνους σῷσόν με καὶ ἀπάλλαξον τῶν κινδύνων. Πολλαχοῦ γάρ ἀντὶ τοῦ ἔργου τῷ εἰπεῖν κέχρηται, ὡς καὶ τὸ εἶπαν «Τίς ὄψεται αὐτούς»[2] τοῦτο δὲ ἡμῖν ἐπισεσήμανται πολλαχοῦ· ἐκείνους οὖν, φησί, τιμωρησάμενος ἐμοὶ παράσχου τὴν σωτηρίαν.

7 «Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν»

Σύμμαχος τό «ὅτι δωρεάν»[3], 'ὅτι ἀναιτίως' λέγει. Ταῦτα δέ φησιν αὐτοὺς ἀξιῶ παθεῖν, ἐπειδὴ ἄνευ λόγου καὶ αἰτίας ἐπιβουλεύειν μοι σπουδάζουσι, δόλους ῥάπτοντες κατ' ἐμοῦ. Τὸ γάρ «ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν», ἀντὶ τοῦ 'ἔκρυψάν μοι παγίδα διαφθεῖραι καὶ ἀνελεῖν δυναμένην'. Τοῦτο δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ταῖς παγίσι λαθραίως συλλαμβανομένων εἰς θάνατον τοὺς στρουθοὺς καὶ διαφθειρόντων· τοιοῦτο γάρ τι διαπράττονται καὶ οἱ μετὰ δόλου τὰ πρὸς θάνατον ἑτέρου βουλευόμενοι, ὥσπερ τινὰ παγίδα τοὺς οἰκείους δόλους ἀρτύοντες καὶ τὰς οἰκείας μηχανάς.

«Μάτην ὠνείδισαν τὴν ψυχήν μου»

Εἰκῇ μοι ἐλοιδορήσαντο. Τὸ γάρ «ὠνείδισαν»[4] ἀντὶ τοῦ ἐλοιδορήσαντο, ἐπειδὴ καὶ ὁ ὀνειδίζων ἐπὶ πάθει λοιδορεῖται πάντως τῷ ὀνειδιζομένῳ, οἷον εἴ τις τὸν τὰς ὄψεις ἐστερημένον βούλοιτο καλεῖν πηρόν· τούτῳ γὰρ καὶ ὀνειδίσαι τὸ πάθος ἐστὶ καὶ λοιδορήσασθαι. Διὰ τοῦτο ἐνταῦθα ἀντὶ τοῦ ἐλοιδορήσαντο τό «ὠνείδισαν» εἶπεν.

8 «Ἐλθέτω αὐτοῖς παγίς, ἣν οὐ γινώσκουσιν»

178 Μνημονεύσας τῆς αἰτίας πάλιν ἐπαρᾶται (Σύμμαχος, λαβέτω αὐτὸν αἰφνίδιον ὃ μὴ εἶδεν, ἀντὶ τοῦ 'λαβέτω αὐτὸν συμ-

---

1. Ψαλ. 34.3. **2.** Ψαλ. 63,6. **3.** Ψαλ. 34,7. **4.** Ἐνθ' ἀν.

φορὰ ἀπροσδόκητος'), διόλου δὲ κατάλληλον τὴν τιμωρίαν αἰτεῖ τοῖς παρ' ἐκείνων γινομένοις. Ὥσπερ γὰρ ἄνω εὐθὺς ἐν ἀρχῇ τοῦ ψαλμοῦ φησι, «πολέμησον τοὺς πολεμοῦντάς με»[1], ἀντὶ τοῦ 'τοῦτο αὐτοὺς διάθες ὅπερ ἐμὲ διατεθείκασιν', οὕτως κἀνταῦθα, ἐπειδὴ τὴν ἐκείνων ἐπιβουλὴν ἐξηγούμενός φησιν, «ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν»[2], ἐπαρώμενος αὐτῷ φησιν, «ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει»[3], τοῦτο αὐτοῖς ἀντὶ τιμωρίας ἐπαρώμενος ὅπερ αὐτὸς ἔπασχεν ὑπ' ἐκείνων. Παγίδα γάρ, φησίν, αὐτοὶ ἔκρυψαν κατ' ἐμοῦ, ἀντὶ τοῦ ἐπιβουλήν· παγίδι καὶ αὐτοὶ περιπέσοιεν. Καὶ τό «ἣν οὐ γινώσκει» ὅμοιόν ἐστι «τῷ ἔκρυψάν μοι»· καὶ γὰρ καὶ ὁ τῇ κεκρυμμένῃ παγίδι περιπεσὼν ὑπ' ἀγνοίας ὑπομένει τὸν ἐκ τῆς παγίδος θάνατον. Τὸ δέ «ἐλθέτω αὐτῷ» ἀντὶ τοῦ «αὐτοῖς», ἀπὸ τοῦ ἑνικοῦ τοὺς πάντας περιλαμβάνων. Οὕτω γὰρ πολλάκις οἱ παρὰ πολλῶν ἐπιβουλευόμενοι λέγουσι, 'Κύριε, τιμώρησαι τὸν ἐπιβουλεύοντά μοι', οὐχ ὡς ἑνὸς ὄντος τοῦ ἐπιβουλεύοντος ἀλλ' ἵνα εἴπῃ πάντα ἐπιβουλεύοντα.

«Καὶ ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν, καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ»

Παγίδα καλεῖ καὶ θήραν τὴν ἐπιβουλήν, ἀπὸ τοῦ εἰς θάνατον συλλαμβάνειν τὸν ἐπιβουλευόμενον. Τοῦτο γὰρ καὶ ἡ παγὶς ἐργάζεται, ὁμοίως καὶ ἡ θήρα τὸ θηρώμενον συλλαμβάνουσα καὶ ὑπὸ τὴν ἐξουσίαν ἐργαζομένη τῶν θηρευόντων. Τὸ γάρ «καὶ ἡ θήρα ἣν ἔκρυψε»[4] φανερώτερον λέγει Σύμμαχος 'καὶ δίκτυον αὐτοῦ ὃ ἔκρυψεν'. Τοῦτο δὲ λέγει, ὅτι τῇ ἐπιβουλῇ ἣν ἐμηχανήσατο κατ' ἐμοῦ περιπέσοι ταύτῃ ἐκεῖνος, οὐχ ὅτι ταὐτῇ τῇ ἐπιβουλῇ περιπίπτειν ἐκεῖνος ἔμελλε (πῶς γὰρ ἐνῆν τὸν ἐπιβουλεύοντα τῷ Προφήτῃ αὐτὸν δέξασθαι ταὐτὴν ἐκ τῆς ἐπιβουλῆς τὴν βλάβην ἧς ἐμηχανᾶτο κατὰ τοῦ Προφήτου;) ἀλλὰ ἀντὶ τοιαύτῃ αὐτὸς περιπέσοι, οἷα ἐμοὶ ἐμηχανήσαντο τοιαῦτα πάθοιεν ἐκεῖνοι, — ὡς καὶ τὸ ἐπὶ τοῦ 'Αχιτόφελ ἐν τῷ ἑβδόμῳ ψαλμῷ, ὅταν λέγῃ· «καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο»[5]. Οὐχ ὅτι τοῦτο αὐτὸς ἔπαθεν ὅπερ διαθεῖναι τὸν Δαβὶδ ἠβούλετο, — οὐ γὰρ ἀντὶ τοῦ Δαβὶδ

---

1. Ψαλ. 34,1. 2. Ψαλ. 34,7. 3. Ψαλ. 34,8. 4. Ἔνθ' ἀν. 5. Ψαλ. 7,16.

ἐπεδίωξεν αὐτὸν ὁ Ἀβεσσαλὼμ καὶ ἀνεῖλεν —, ἀλλ' ὅτι ἀπὸ τῆς ἐπιβουλῆς πρὸς οἷς οὐδὲν ἤνυσε, κακὸν αὐτὸς ἐδέξατο τὸ τέλος ἑαυτὸν ἀνελὼν διὰ τὴν τῆς ἀποτυχίας ἀγανάκτησιν. Ὅμοιον οὖν καὶ τοῦτο **179** ἐκείνῳ τό «ἡ θήρα, ἣν ἔκρυψε, συλλαβέτω αὐτόν», οὐχ ἵνα αὐτῇ τῇ αὐτοῦ ἐπιβουλῇ περιπέσοι, ἀλλ' ἀντὶ τοῦ ὑπὸ τοιαύτης ληφθείη παγίδος, ὑπὸ τοιούτου δικτύου, 'ὑπὸ τοιαύτης ἐπιβουλῆς'· οὕτως καὶ ὅταν ἐν τῷ λα' ψαλμῷ λέγει «Ὑπὲρ ταύτης προσεύξεται πρός σε πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ»[1], οὐχ ὑπὲρ αὐτῆς λέγει τῆς ἐκείνου ἁμαρτίας, ἀλλ' ὑπὸ αὐτοῦ τοῦ εἴδους τῆς ἁμαρτίας, ἵνα εἴπῃ, ὑπὸ τοιαύτης.

«Πεσεῖται» ἀντὶ τοῦ 'πέσοιεν', — ἐπαρώμενος γὰρ ἀκολούθως λέγει τοῖς ἄνω· οὕτω γὰρ ἀκόλουθον, ἡ δὲ ἐναλλαγὴ τοῦ χρόνου καθὼς πολλαχοῦ ἀπὸ τῆς ἑρμηνείας γίγνεται. Βούλεται δὲ εἰπεῖν ὅτι καὶ περιπέσοι αὐτῇ τῇ ἐπιβουλῇ· δῆλον ὡς οὐ τῇ αὐτῇ, ἀλλ' ἀντὶ τοῦ τοιαύτῃ. Τοῦτο δὲ ἐπήγαγε βουλόμενος δεῖξαι τὸ εὔλογον τῆς αἰτήσεως, ὅτι οὐδὲν αἰτεῖ βαρὺ κατ' αὐτῶν, ἀλλ' ὅπερ αὐτὸν ἐκεῖνοι διατεθείκασιν· ἀκόλουθα αἰτῶ τῷ νόμῳ ἴσην ὁρίζοντι τοῖς ἀδικοῦσι τὴν τιμωρίαν.

9 «Ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ»

Ἵνα δείξῃ διόλου ὅτι τοσοῦτον ἦν τῶν κακῶν τὸ μέγεθος, ὡς αὐτῆς ἅψασθαι τῆς ψυχῆς. Πῶς οὖν «ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ»[2], ἑξῆς ἐπάγει. «Τερφθήσεται» ἐπὶ τῷ τῆς σωτηρίας, φησί, τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύσας, ἐν τέρψει καὶ εὐφροσύνῃ καταστήσομαι. Τὸ δέ «τερφθήσεται» εἶπεν ἀντὶ τοῦ χαρίσεται, ἐπειδήπερ ὁ τερπόμενος καὶ χαίρει πάντως ἐπὶ τῷ τέρποντι.

10 «Πάντα τὰ ὀστᾶ μου ἐροῦσιν, Κύριε, τίς ὅμοιός σοι;»

Ἀνωτέρω δείξας ὅτι δικαίως αὐτοὺς ἀξιοῖ τιμωρηθῆναι ὡς μάτην ἐπιβουλεύοντας, εἶτα εἰπὼν ὅτι προσγενήσεται αὐτῷ εὐφροσύνη ἀπὸ τῆς ἐκείνων τιμωρίας σωθέντι παρὰ τοῦ Θεοῦ, ἑξῆς πάλιν δείκνυσιν ὅτι δικαίως τεύξεται τῆς σωτηρίας καὶ τῆς

1. Ψαλ. 31,6. **2.** Ψαλ. 34,9.

εὐφροσύνης, ἀπὸ τοῦ εἰπεῖν «πάντα τὰ ὀστᾶ μου ἐροῦσι· Κύριε, Κύριε, τίς ὅμοιός σοι;»[1]. Τυχὼν γάρ, φησί, τούτων οὐκ ἀρκεσθήσομαι ἁπλῶς τῇ εὐφροσύνῃ, ἀλλ' εὐχαριστήσω καὶ δοξάσω ἐπὶ τοῖς γεγενημένοις, ὁμολογῶν σε μέγαν καὶ πάντων μείζονα. Τὸ δέ «πάντα τὰ ὀστᾶ μου», ἵνα εἴπῃ ὅτι ἐκ πάσης ἰσχύος εὐχαριστήσω· τὰ γὰρ ὀστᾶ ἐπὶ τῆς ἰσχύος λαμβάνει, ὡς καὶ ἀλλαχοῦ «ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου»[2] ἀντὶ τοῦ ὅτι ἐταράχθην ἰσχυρῶς.

«Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ»

180 Σύμμαχος τό «ῥυόμενος» 'ἐξαίρει' λέγει. Ἐρῶ, φησίν, οὐδένα σοι ὅμοιον εἶναι, καὶ πάντων ὁμολογήσω δυνατώτερον καὶ μόνον πάντων τῶν νομιζομένων ἰσχυρῶν καὶ δυνατῶν, τοὺς πτωχοὺς καὶ εὐτελεῖς ῥύεσθαι δυνάμενον, παραδόξως τε ἀπαλλάττοντα τῆς ἐκείνων ἐπιβουλῆς. Ἐπισημαντέον δὲ κἀνταῦθα ὅτι ὅταν λέγῃ πρὸς τὸν Θεόν, «τίς ὅμοιός σοι», οὐ πρὸς ἀντιδιαστολὴν Υἱοῦ λέγει, ἀλλὰ πρὸς τὴν τῶν λεγομένων ἀκολουθίαν. Ἐπειδὴ γὰρ δυνατοὶ μὲν ἦσαν οἱ τὸν Προφήτην διαφόροις τοῖς κακοῖς περιβάλλοντες, τῶν δὲ τοιούτων ῥύεσθαι τοῦ παντὸς ἦν δυνατωτέρου, ὡς πρὸς ἐκείνους, φησίν, ὅτι πάντων ὁμολογήσω σε δυνατώτερον ὡς καὶ τῶν μεγάλων τοὺς εὐτελεῖς ἀπαλλάττειν δυνάμενον. Τοῦτο οὖν, φησίν, ἐρῶ τυχὼν τῆς παρά σου σωτηρίας, καὶ ἐξηγούμενος αὐτὸ καθολικῶς ἀπὸ τῶν κατ' ἐμὲ αὐτός τε προσεῖναι πιστεύω τῷ λεγομένῳ τὴν ἀλήθειαν, καὶ ἑτέροις παρέχων τὴν ἀπόδειξιν.

«Καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν»

«Καὶ πτωχὸν καὶ πένητα» τὸ αὐτὸ λέγει διαφόρως, ἵνα τὴν ὑπερβάλλουσαν εὐτέλειαν παρασημάνῃ· διὰ τοῦτο ἐπὶ τῶν ἐπιβουλευόντων οὐκ εἶπεν ἁπλῶς, ἀλλ' «ἀπὸ τῶν διαρπαζόντων αὐτόν», δεικνὺς καὶ τὸ πλῆθος τῶν ἐπιβουλευόντων καὶ τῆς ἐπιβουλῆς τὸ μέγεθος· διηρπάχθαι γὰρ τινά φαμεν κυρίως, ὅταν ὑπὸ πολλῶν τοῦτο παθὼν πάντα ζημιωθῇ. Ταῦτα δὲ λέγει πρὸς πα-

---

1. Ψαλ. 34,10. **2.** Ψαλ. 6,3.

ράστασιν τοῦ μεγέθους τοῦ Θεοῦ, ὅπερ ἐξηγεῖσθαι ἐπαγγέλλεται ὅταν ἀπολαύσῃ τῆς παρ' αὐτοῦ εὐεργεσίας· ἐδείκνυ γὰρ αὐτοῦ τὸ μέγεθος ἥτε τοῦ πάσχοντος καὶ ῥυσθέντος εὐτέλεια παρ' αὐτῷ καὶ τὸ τῶν ἐπιβουλευόντων μέγεθος· ὅσον γὰρ δυνατὸν τὸ τῆς ἀπαλλαγῆς τῶν ἐπιβουλευόντων κατεφαίνετο, τοσοῦτον δυνατώτερος ὁ τοῦτο ἐργαζόμενος ἐδείκνυτο. Εἶτα ἐπαρασάμενος αὐτοῖς καὶ εἰπὼν ὅτι τιμωρητῶν ἐκείνων γενομένων προσέσται μὲν εὐφροσύνη ἐμοί, ἀναπέμψω δὲ καὶ τῷ εὐεργέτῃ τὴν εὐχαριστίαν, πάλιν ἐξηγεῖται τὰ παρ' ἐκείνων γινόμενα, καί φησιν·

11 «Ἀναστάντες μοι μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἠρώτων με»

Ἐνταῦθα αὐτὸ τὸ γεγονὸς ἐξηγεῖται. Πολλοὶ γὰρ πολλὰ τοῦ Προφήτου κατεμαρτύρουν ὡς χαριζομένου τοῖς ἐναντίοις κατ' αὐτῶν καὶ διὰ τοῦτο τὴν ἅλωσιν τῆς πόλεως αὐτοῖς προσαγορεύοντος, ὥστε καταβαλεῖν τὰ **181** φρονήματα τῶν ἔσω τῇ φήμῃ τῶν κακῶν. Ποτὲ δὲ καὶ ἐξιόντα τῆς πόλεως ἄρτον ὠνήσασθαι εἰσήγαγέ τις εἰς τὴν πόλιν συκοφαντῶν ὡς αὐτομολεῖν ἐθέλοντα πρὸς τοὺς Χαλδαίους[1], ὡς ἀπὸ ταύτης τῆς αἰτίας τραυματισθέντα καὶ φυλακῇ παραδοθῆναι, καὶ ἐφ' ἑτέροις δὲ πολλοῖς συκοφαντηθεὶς μυρίων ἔλαβε πεῖραν κακῶν. Πρὸς οὖν τούτους καὶ τοὺς τοιούτους φησὶ τό «Ἀναστάντες μοι μάρτυρες ἄδικοι ἃ οὐκ ἐγίνωσκον ἠρώτων με»[2], ἀδίκους μάρτυρας καλῶν τοὺς συκοφαντεῖν ἐσπουδακότας. Ἐπειδὴ γὰρ ὁ εἰς πράγματος μαρτυρίαν καλούμενος συνίστησι δι' ὧν λέγει τὴν τοῦ πράγματος ἀλήθειαν, μάρτυρα ἄδικον καλεῖ τὸν τὰ ἐναντία τῇ ἀληθείᾳ συνιστᾶν ἐσπουδακότα. Καὶ τό «ἠρώτων με» ἀντὶ τοῦ ἐσυκοφάντουν οὐχ ἁπλῶς εἶπεν, ἀλλ' ἐπειδὴ εἰς κρίσιν αὐτὸν ἄγοντες, ἐπειρῶντο μὲν ἐν προσχήματι κρίσεως ἐξετάζειν ὡς δὴ μαθεῖν βουλόμενοι διὰ τῆς ἐρωτήσεως τὸ γεγονός, συκοφαντοῦντες δὲ ὡς ἐβούλοντο κατέκρινον ἀναιτίως. Τό «ἠρώτων» εἶπεν ἀντὶ τοῦ ἐσυκοφάντουν, ἀπὸ τοῦ γινομένου παρ' αὐτῶν τὸ ἀποτέλεσμα καλέσας, ἤτοι τὸν σκοπὸν καθ' ὃν ἐποιοῦντο τὴν ἐρώτησιν. Ἐξηγησάμενος δὲ διὰ τούτων τὴν παρά-

---

1. Πρβλ. Ἱερ. 44,11-16. **2.** Ψαλ. 34,11.

νομον αὐτῶν πρᾶξιν, δείκνυσι τῆς παρανομίας καὶ τῆς ἀδικίας τοῦ γινομένου τὸ μέγεθος, τῇ ἐπαγωγῇ τοῦ ἑξῆς ῥητοῦ εἰπών.

12 «Ἀνταπεδίδουν μοι πονηρὰ ἀντὶ ἀγαθῶν»

Συκοφαντεῖν γὰρ καὶ ἀδικεῖν ἔσπευδον, καίτοι πολλῶν ἀγαθῶν ἀπολαύσαντες παρ' ἐμοῦ. Ἐγὼ μὲν γὰρ αὐτοῖς τὰ κάλλιστα βουλόμενος, τὰ ἐσόμενα προηγόρευον διὰ τὴν αὐτῶν ὠφέλειαν, ἐκεῖνοι δὲ ἀπιστοῦντες τοῖς λεγομένοις κάκιστα μὲν διετίθεσαν, διαφόροις περιβάλλοντες τοῖς κακοῖς[1]. Ὁ μὲν γὰρ μακάριος Ἱερεμίας ἔλεγεν· «Οὕτως εἶπε Κύριος· Ὁ καθήμενος ἐν τῇ πόλει ταύτῃ ἀποθανεῖται ἐν ῥομφαίαις καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὁ ἐκπορευόμενος πρὸς τοὺς Χαλδαίους ζήσεται, καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρεμα καὶ ζήσεται. Ὅτι τάδε λέγει Κύριος, Παραδόσει παραδοθήσεται ἡ πόλις αὕτη εἰς χεῖρας δυνάμεως βασιλέως Βαβυλῶνος, καὶ λήψεται αὐτήν»[2], ταῦτα λέγων οὐχ ἁπλῶς, ἀλλὰ βουλόμενος αὐτοὺς πεῖσαι παραδόντας ἑαυτοὺς τοῖς Χαλδαίοις εὑρέσθαι διὰ τούτου τὴν σωτηρίαν καὶ τῶν κακῶν τὴν ἀπαλλαγήν, ἅπαξ τοῦ Θεοῦ καταψηφισαμένου τῆς πόλεως ἀφανισμόν. Οἱ δὲ κατὰ τὴν πόλιν ἄρχοντες, — δέον πειθομένους τοῖς λεγομένοις κερδαίνειν τῶν κακῶν τὴν πεῖραν —, οἱ δὲ καὶ προσοργισθέντες τοῖς λεγομένοις ἐνέβαλον αὐτὸν τῷ λάκκῳ[3] τοῦ βορβόρου· εἰρηκότος γὰρ τοῦ μακαρίου Ἱερεμίου τὰ προειρη**182**μένα, ὡς ἡ βίβλος ἡ αὐτοῦ περιέχει, εἶπον οἱ ἄρχοντες, φησί, τῷ βασιλεῖ, «Ἀρθήτω δὴ ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολεμούντων τῶν καταλελειμμένων»[4]. Καλῶς οὖν πρὸς ταῦτά φησιν «ἀνταπεδίδουν μοι πονηρὰ ἀντὶ ἀγαθῶν»· ἀναγκαίων γὰρ ὄντων καὶ πρὸς σωτηρίαν αὐτοῖς συμβαλέσθαι δυναμένων τῶν παρ' αὐτοῦ λεγομένων, μέγιστα αὐτῷ κακὰ ἀπεδίδοσαν διαφόροις αὐτὸν ὑπὲρ τούτων τιμωρίαις περιβάλλοντες. Ἄνω μὲν οὖν, φησίν, «ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν»[5], αἰτιώμενος ὡς ὅτι μηδὲν ἠδικημένοι ἀναιτίως ἐπεβούλευον, ἐνταῦθα δὲ μεῖζον, φησίν, ὅτι ὑπὲρ τῶν

---

1. Πρβλ. Ψαλ. 34,12. **2.** Ἱερ. 21,8-10. **3.** Πρβλ. Ἱερ. 44,16. **4.** Ἱερ. 45,4. **5.** Ψαλ. 34,7.

παρ' ἐμοῦ καλῶν εἰς ἑαυτοὺς γινομένων ἐκεῖνοι κακοῖς ἠμείβοντό με. Τοῦτο δὲ μεῖζόν ἐστι τοῦ προτέρου· οὐ γὰρ ὅμοιόν ἐστι μηδὲν ἠδικημένους ἀδικῆσαι καὶ εὐεργετηθέντας κακὰ διαθεῖναι.

«Καὶ ἀτεκνίαν τῇ ψυχῇ μου»

Ἐν τῷ νόμῳ τῶν τετελευτηκότων ἡ μνήμη τῇ διαδοχῇ τῶν τικτομένων ἐν ταῖς βίβλοις ἐφυλάττετο, ἔνθα γεγράφθαι συνέβαινε τὰς διαδοχὰς τῶν Ἰουδαίων. Διὰ γὰρ τοῦτο καὶ ὁ Θεὸς προσέταξε τοῦ τελευτῶντος ἀτέκνου τὸν ἀδελφὸν λαμβάνοντα τὴν γυναῖκα ἀνιστᾶν αὐτῷ σπέρμα, ὥστε τὸ μνημόσυνον αὐτοῦ μὴ ἐξαλείφεσθαι[1]. Τοῦτο δὲ ἐγίνετο διὰ τὸ μὴ τῆς ἀναστάσεως ἀκριβῆ τὴν ἐπαγγελίαν ἔχειν, ὡς ἂν μὴ τῆς εὐσεβείας καταμελοῖεν, οὐδὲν ἔτι εἶναι πλείονα τοῖς μετὰ θάνατον προσδοκῶντες. Διὰ γὰρ τοῦτο καὶ ὁ Ἀβεσσαλώμ, ὡς ἡ τῶν Βασιλειῶν βίβλος φησίν, ἄτεκνος ὢν στήλην **183** ἀνέστησεν ἑαυτῷ, ὡς ἂν δι' ἐκείνης μνημονεύοιτο μετὰ τὸν θάνατον[2].

Ἐπειδὴ τοίνυν οἱ μὲν τέκνα καταλιμπάνοντες ἐξ ἀνάγκης δι' ἐκείνων ἐμνημονεύοντο διὰ τῶν διαδοχῶν, τῶν δὲ ἀτέκνων ἠφανίζετο τὸ μνημόσυνον[3], οὐ ὄντων διαδόχων δι' ὧν ὁ τελευτῶν μνημονεύεσθαι ἠδύνατο, τοῦτο βούλεται εἰπεῖν, τὴν ἐπίτασιν τῶν ἐπαγομένων αὐτῷ κακῶν δεικνύς, ὅτι κακοῖς μέ φησιν ἠμείβοντο τὰ καλὰ αὐτοῖς βουλευόμενον, οὐ τοῖς τυχοῦσι κακοῖς, ἀλλὰ καὶ αὐτό μου τὸ μνημόσυνον ἐξαλεῖψαι βουλόμενοι· τοῦτο δὲ ἐποίησαν ἡνίκα ἐν τῷ λάκκῳ[4] τοῦ βορβόρου ‹αὐτὸν› ἔρριψαν. Ἐπειδὴ γὰρ ὁ θαπτόμενος διὰ τοῦ τάφου τοῦ ἐπ' αὐτῷ γινομένου καὶ διὰ τοῦ μνήματος μνημονεύεται παρὰ τῶν ὁρώντων, — ὅθεν καὶ μνῆμα λέγεται τὸ τοιοῦτον ἀπὸ τοῦ εἰς μνήμην ἄγειν τοὺς ἐν αὐτῷ κειμένους τοὺς ὁρῶντας —, βληθεὶς δὲ ἐν τῷ βορβόρῳ, ἐκεῖ τελευτήσας ἄταφος ἔμενεν ἐξ ἀνάγκης οὐδὲν ἔχων εἰς τὸ ἑξῆς μνημόσυνον.

Τοῦτο προφητεύων ὁ μακάριος Δαβίδ, φησίν, ὅτι καὶ αὐτό μου τὸ μνημόσυνον ἐξαλεῖψαι ἠβούλοντο, ὅπερ φησίν «ἀτεκνίαν τῇ

1. Πρβλ. Δευτ. 25,5. Ματθ. 22,24. **2.** Πρβλ. Β' Βασ. 18,18. **3.** Πρβλ. Ψαλ. 34,12. **4.** Πρβλ. Ἱερ. 44,16.

ψυχῇ μου»[1] ἀκολούθως τῷ ἄνω, τουτέστιν «ἀνταπεδίδοσάν μοι κακὰ ἀντὶ ἀγαθῶν». Ποῖα κακά; «Ἀτεκνίαν τῇ ψυχῇ μου»· ταῦτά μοι «ἀνταπεδίδοσαν τὴν ἀτεκνίαν», τὸ σπουδάζειν ἐξαλεῖψαί μου τὸ μνημόσυνον. Εἶτα εἰρηκὼς ὅτι κακὰ διετίθεσαν αὐτὸν εὐεργετούμενοι παρ' αὐτοῦ, ὡς καὶ τὸ μνημόσυνον αὐτοῦ ἐθέλειν ἀφανίσαι, ἑξῆς λέγει τίνα μὲν τὰ παρ' αὐτοῦ ἀγαθὰ εἰς ἐκείνους γιγνόμενα. Τίνα δὲ πάλιν τὰ ἀντὶ τούτων εἰς αὐτὸν παρ' ἐκείνων φησίν.

13 «Ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι ἐνεδυόμην σάκκον»

Οἱ μέν φησι τοιαῦτα προῃροῦντο, ἐγὼ δὲ καὶ ἐν αὐτῷ τῷ πάσχειν παρ' αὐτῶν κακῶς σάκκον ἠμφιεννύμην[2] ὑπὲρ αὐτῶν.

«Καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου»

Καὶ ἐνήστευον ὑπὲρ αὐτῶν. Τὸ δέ «ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου»[3], φησίν, ἐπειδὴ ἡ νηστεία **184** εἴωθε κακοῦσα τὸ σῶμα ταπεινοτέραν καὶ τὴν ψυχὴν τοῖς λογισμοῖς διὰ τῆς τοῦ σώματος κακώσεως ἐργάζεσθαι. Ἐγὼ οὖν, φησίν, ὑπὲρ ἐκείνων προσέπιπτον τῷ Θεῷ καὶ νηστείαις ἐκεχρήμην, συγχώρησιν αἰτῶν ἐκείνοις τῶν πλημμελημάτων· τοῦτο γάρ ἐστιν εὑρεῖν συνεχῶς παρ' αὐτοῦ γεγονός, ἐξ ὧν πού φησι πρὸς αὐτὸν ὁ Θεὸς διὰ τὸ συνεχὲς τῆς προσευχῆς· «Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου»[4]. Τὸ δέ «ἐνεδυόμην σάκκον» εἶπεν, ἐπειδὴ ἔθος ἦν παρὰ Ἰουδαίοις, ἡνίκα ἂν συμφοραῖς περιπίπτοντες αἴσθησιν ἐλάμβανον ἀπὸ τῆς περιπτώσεως τῶν συμφορῶν ὅτι δι' ἁμαρτίας πάσχουσι, σάκκους περιβαλλομένους προσπίπτειν τῷ Θεῷ καὶ οὕτω γε αἰτεῖν παρ' αὐτοῦ τῶν πλημμελημάτων τὴν συγχώρησιν. Τοῦτο ἔθος αὐτοῖς εἶναι φανερώτερον Ἰώσηπος ἐν ταῖς τῆς Ἀρχαιολογίας βίβλοις φησιν.

«Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται»

Ἔθος ἐστὶ τῇ θείᾳ Γραφῇ τοῦ κόλπου μεμνῆσθαι, ὅταν μὴ αὐτὸν καλῇ τὸν παρ' ἡμῖν ὀνομαζόμενον κόλπον, τὸ ἀχώριστον

---

1. Ψαλ. 34,12. **2.** Πρβλ. Ψαλ. 34,13. **3.** Ἔνθ' ἀν. **4.** Ἱερ. 7,16.

καὶ ἡνωμένον σημαίνειν βουλομένη, ὡς ὅταν λέγῃ «ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε»[1], — ἵνα εἴπῃ ὅτι «ἀπόδος αὐτοῖς τὸν ὀνειδισμόν», ἑνώσας αὐτοῖς καὶ ἀχώριστον αὐτὸν ἐργασάμενος ὥστε μηδέποτε αὐτῶν ἐξαλειφθῆναι τὸν ὀνειδισμὸν ὑπὲρ ὧν «ὠνείδισάν σε» —, καὶ ὅταν πάλιν λέγῃ, «Μνήσθητι τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν»[2], — ἵνα εἴπῃ, Μνήσθητι ὡς πολύν τινα καὶ ἀχώριστον καὶ ἄπαυστον τὸν ὀνειδισμὸν ‹ὃν› ὑπομένομεν. Οὕτως καὶ ὅταν λέγῃ «Ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς ἐκεῖνος ἐξηγήσατο»[3], τοῦτο βούλεται εἰπεῖν ὅτι σὺν αὐτῷ ὁ ἀχώριστος αὐτοῦ ὢν ἐκεῖνος ἐποιήσατο τὴν ἐξήγησιν — διὸ καὶ πιστεύεσθαι ἄξιον τὰ λεγόμενα· εἰπὼν γὰρ ὅτι «Θεὸν οὐδεὶς ἑώρακε πώποτε»[4] πρὸς πίστωσιν τοῦ ὅτι τοῦτο ἀληθές, — ἐπειδὴ πολὺ ἐν τῇ θείᾳ Γραφῇ τῆς Παλαιᾶς Διαθήκης τὸ ὑπερφαῖνον, ὡς ὅτι δὴ ὤφθη Προφήταις καὶ πολλοῖς τῶν δικαίων[5]—, ἐπήγαγε ὅτι «ὁ μονογενὴς Υἱὸς ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς ἐκεῖνος ἐξηγήσατο», τουτέστιν ἀξιόπιστον τοῦτο ἐπειδὴ ἐξηγήσατο ὁ πάντοτε συνὼν τῷ Πατρί, ἀχώριστός τε αὐτοῦ διὰ παντὸς ὢν καὶ ἱκανῶς τὴν φύσιν αὐτοῦ γνωρίζειν **185** δυνάμενος, ὡς ἅτε δὴ συνυπάρχων αὐτῷ καὶ πολλῷ πάντων διὰ τοῦτο ἀξιοπιστότερος. Καὶ ἐνταῦθα τό «καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται»[6]· τοῦτο βούλεται εἰπεῖν ὅτι οὐκ ἐχωρίσθη μου ἡ δέησις, οὐ προῆλθεν ἀπ' ἐμοῦ, ἀλλ' ἔμενεν ἐν ἐμοὶ μὴ χωρισθεῖσά μου, μὴ προελθοῦσα, μὴ προσδεχθεῖσα. Ἐπειδὴ γὰρ ἀλλαχοῦ λέγει «εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου»[7], ἀντὶ τοῦ 'προσδεχθείη', καλῶς ἐνταῦθά φησι, τό «εἰς κόλπον μου ἀποστραφήσεται» ἀντὶ τοῦ 'οὐ προῆλθεν, οὐκ εἰσῆλθε πρὸς τὸν Θεόν' — ἵνα εἴπῃ οὐ προσεδέχθη· ἀκολουθεῖ γὰρ ἑαυτῷ ἐν ταῖς σωματοποιήσεσιν.

14 «Ὡς πλησίον, ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν»

Ἐπειδὴ ἀνωτέρω εἶπεν ὅτι χλευαζόμενος παρ' αὐτῶν σάκκου

---

1. Ψαλ. 78,12. **2.** Ψαλ. 88,51. **3.** Ἰω. 1,18. **4.** Ἔνθ' ἀν. **5.** Πρβλ. Α' Κορ. 15,5-7. **6.** Ψαλ. 34,13. **7.** Ψαλ. 87,3.

τε ἐνδύματι ἐκεχρήμην καὶ ταπεινώσει νηστείας, — οὐδὲν δέ φησιν ὠφέλησα, τῆς δεήσεώς μου διὰ τὴν ἐκείνων μοχθηρίαν ἀπροσδέκτου γιγνομένης, — ἵνα μή τις οἰηθῇ τὴν εὐχὴν παρ' αὐτοῦ ἁπλῶς γεγενῆσθαι, οὐ μετὰ διαθέσεως, ἐπήγαγε τό «ὡς ἀδελφὸν ἡμέτερον, οὕτως εὐηρέστουν»[1], ἀντὶ τοῦ 'οὐ μόνον δὲ ηὐχόμην ὑπὲρ αὐτῶν, ἀλλὰ καὶ ὡς περὶ ἑταίρων καὶ ἀδελφῶν διεκείμην'. Τὸ δὲ εὐηρέστησα, ἵνα εἴπῃ τὴν ἐπίτασιν τῆς διαθέσεως, ἀντὶ τοῦ σφόδρα ἠρεσκόμην εἶναι πρὸς αὐτὸν ὡς πρὸς ἀδελφόν. Σύμμαχος, 'ὡς πρὸς ἑταῖρον ἢ πρὸς ἀδελφὸν ἀνεστρεφόμην'· τὸ γάρ 'ἀνεστρεφόμην' τὴν πολλὴν συνήθειαν καὶ τὴν ἐν τοῖς πράγμασι δείκνυσιν ὁμιλίαν ὥς που καὶ λέγειν εἰώθαμεν ἀνεστρέφει ὅδε ἐν τοῖς πράγμασι, τουτέστιν ἐν αὐτοῖς ἐξεταζόμενος διατελεῖ.

«Ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην»

Καὶ ηὐχόμην φησὶν ὑπὲρ αὐτῶν, καὶ διεκείμην ὡς πρὸς ἀδελφούς, καὶ πενθῶν ἐπὶ τοῖς συμβαίνουσιν αὐτοῖς λυπηροῖς διετέλουν, — Σύμμαχός φησιν, 'ὡς πενθῶν ὁμομήτριον σκυθρωπὸς ἔκυφον'—, τοσαύτην εἶχον, φησίν, ἐφ' οἷς ἔπασχον τὴν ἀθυμίαν. Ἔδειξε δὲ διὰ τούτων τίνα εἶχε γνώμην περὶ αὐτούς καὶ οἷα αὐτοῖς ἤθελεν ἀγαθά, — ὅτι ηὐχόμην, φησίν, ὑπὲρ αὐτῶν, ὅτι διεκείμην ὡς πρὸς ἀδελφούς, ὅτι πενθῶν διετέλουν ἐφ' οἷς ἔπασχον ὡς ἐπ' ἀδελφῷ. Εἶτα ἐξηγεῖται ἀντὶ τούτων τῶν ἀγαθῶν τίνα αὐτῷ κακὰ ἐκεῖνοι ἀπέδωκαν.

15 «Καὶ κατ' ἐμοῦ ηὐφράνθησαν καὶ συνήχθησαν»

Καὶ οὕτω, φησίν, ἐμοῦ περὶ αὐτοὺς διακειμένου καὶ οὕτως ἔχοντος γνώμης περὶ αὐτούς, ἀντὶ τούτων ἐκεῖνοι κατ' ἐμοῦ εὐφραίνοντο καὶ συνήγοντο, -ἵνα εἴπῃ ὅτι συνέδρια ἐποιοῦντο κατ' ἐμοῦ καὶ εὐφροσύνην ἐτίθεντο τὰ ἐμὰ κακά. Ἔδειξε δὲ συντόμως τὴν ἐναντίωσιν ὅτι αὐτὸς μὲν ἐπένθει ἐφ' οἷς ἔπασχον, καὶ ταῦτα τοῦ **186** Θεοῦ αὐτοὺς ἀποστρεφομένου, οὗτοι δὲ ἐκ τῶν ἐναντίων ηὐφραίνοντο ἐπὶ τοῖς ἐκείνου κακοῖς. Τὸ οὖν «κατ' ἐμοῦ» ἐπὶ κοινοῦ καὶ ἐπὶ τοῦ «ηὐφράνθησαν» καὶ ἐπὶ τοῦ «συνήχθησαν»[2]· τὸ μὲν

---

1. Ψαλ. 34,14. 2. Ψαλ. 34,15.

γάρ «κατ' ἐμοῦ ηὐφράνθησαν» ἀντὶ τοῦ τὰ ἐμὰ κακὰ ἐκείνοις εὐφροσύνην ἐποίει, τὸ δὲ κατ' ἐμοῦ «συνήχθησαν» ἀντὶ τοῦ κατ' ἐμοῦ συνέδρια ἐποιοῦντο βουλευόμενοι ὅτι με διαθῶσι κακόν.

«Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων»

Συνέδρια ποιησάμενοι ἦγον εἰς μέσον, καὶ ἐμαστίγουν, — τοῦτο γὰρ αὐτὸν καὶ διέθηκαν —, καὶ ἐμαστίγουν δὲ ἐφ' οἷς οὐκ ἠπιστάμην, ἵνα εἴπῃ ἀναιτίως.

«Διεσχίσθησαν καὶ οὐ κατενύγησαν»

Σύμμαχος φανωτέρως φησίν 'ἀπορήσαντες οὐχ ἠρέμουν'· πολλάκις δέ φησι καί 'ἀπορήσαντες ἐπὶ τοῖς γιγνομένοις ὑπ' αὐτῶν', ἄγειν τε αὐτὰ εἰς πέρας οὐ δυνάμενοι, οὐδαμῶς μετετίθεντο τῆς κατ' ἐμοῦ ἐπιβουλῆς. Τὸ γάρ «διεσχίσθησαν»[1] ἀντὶ τοῦ ἠπόρησαν λέγει, ἐπειδὴ τὸ διασχιζόμενον ἱμάτιον γυμνὸν ἐργάζεται τὸν ἐνδεδυμένον. Καὶ ἡ τούτων βουλὴ εἰς πέρας οὐκ ἐρχομένη μόνον ἐγύμνου καὶ ἤλεγχε τὴν προαίρεσιν αὐτῶν καὶ τὰς ἐπιβουλάς, — ὅπερ καλῶς εἶπε Σύμμαχος 'ἀπορήσαντες'—, ἀντὶ τοῦ εἰς ἔργον αὐτὰς ἐκβαλεῖν οὐ δυνηθέντες, πόρον αὐτοῖς ἐπιθεῖναι καὶ διέξοδον καὶ τέλος οὐκ ἴσχυσαν, ὅμως οὐδὲ μετενόουν· τοῦτο γάρ ἐστι τό «οὐ κατενύγησαν»· Τοῦτο δὲ μάλιστα γέγονεν ὁπηνίκα τῷ λάκκῳ μὲν ἐνέβαλον τοῦ βορβόρου[2] ὡς ἀναιρήσοντες, παραδόξως δὲ Θεοῦ βουλήσει ἀνεσπάσθην διὰ τοῦ εὐνούχου, καὶ ὅμως ἐπέμενον ἀδικεῖν τολμῶντες.

16 «Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμόν»

Μεθ' ὑποκρίσεως, φησίν, ἐφθέγγοντό μοι, πολλάκις πεῖράν μου λαμβάνοντες, εἶτα ἐχλεύαζον μετὰ τὴν ἀπόκρισιν· μυκτηρισμὸν[3] γὰρ καλεῖ τὴν ἐπίτασιν τῆς χλεύης· Εἰκὸς γὰρ ἦν τινὰς μετὰ χλεύης αὐτῷ προσιόντας ἐρωτᾶν τί ἄρα ἔσται; εἶτα, μετὰ τὴν ἀπόκρισιν τοῦ Προφήτου τὴν τῶν ἐσομένων λυπηρῶν προαγόρευσιν ποιουμένου, χλευάζειν ὡς οὐδὲν ὄντων τῶν λεχθέντων οὐδὲ ἐσομένων.

---

1. Ψαλ. 34,15. **2.** Πρβλ. Ἱερ. 45,6. **3.** Πρβλ. Ψαλ. 34,16.

«Ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν»

187 Καὶ μεγάλην, φησίν, ἐπεδείκνυντο τὴν κατ' ἐμοῦ ὀργήν· ἔθος γὰρ τοῖς σφόδρα ὀργιζομένοις τοὺς ὀδόντας συνθήγειν καὶ κινεῖν. Διόλου δὲ πάντα ἐξηγεῖται, πολλά τε ὄντα καὶ διάφορα τὰ παρ' αὐτῶν εἰς τὸν Προφήτην γεγονότα. Εἰρηκὼς καὶ τὰ παρ' αὐτοῦ εἰς ἐκείνους ἀγαθὰ καὶ τὰ ἀντὶ τῶν ἀγαθῶν γινόμενα παρ' ἐκείνων εἰς αὐτὸν κακά, λοιπὸν ἀκολούθως μετὰ παῤῥησίας αἰτεῖ τοῦ Θεοῦ τὴν βοήθειαν καί φησι·

17 «Κύριε, πότε ἐπόψῃ;»

Μέχρι πότε ἀνέξῃ τοιαῦτα τούτων δαπραττομένων ὁρᾶν κατ' ἐμοῦ, καίτοι πολλῆς τῆς παρ' ἐμοῦ πειραθέντων διαθέσεως; Τὸ δέ «Κύριε, πότε ἐπόψῃ»[1] φησὶν δεικνὺς μὲν καὶ τὸ πλῆθος τῶν παρ' ἐκείνων κακῶν καὶ τὴν ἐπὶ τούτοις τοῦ Θεοῦ μακροθυμίαν. Ὅμοιον δὲ τούτῳ καὶ ἐν τῷ προφητικῷ εὑρήσεις λέγοντα τὸν Ἱερεμίαν· φησὶ γάρ «Κύριε, μὴ εἰς μακροθυμίαν σου λάβῃς με»[2]. Τί οὖν βούλει φησὶ γενέσθαι;

«Ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν»

Ἐξηγησάμενος τῶν κακῶν τῶν εἰς αὐτὸν τὸ μέγεθος καὶ εἰρηκὼς πρὸς τὸν Θεόν, μέχρι πότε τούτων ἀνέξῃ, ἀκολούθως ἐπήγαγε τό «Ἀποκατάστησον τὴν ψυχήν μου ἀπό τῆς κακουργίας αὐτῶν». Τοῦτό φησιν μόνον αἰτῶ τῶν κακῶν, ὧν ἐπάγουσί μοι, τὴν ἀπαλλαγήν. Τὸ δέ «ἀποκατάστησον» εἶπεν ἀντὶ τοῦ ἀπάλλαξον, ἵνα εἴπῃ, ἀπάλλαξόν με τούτων, εἰς τὸ πρότερόν με ἀποκαθιστῶν ὁπηνίκα τῆς τούτων ἐκτὸς καθειστήκειν θλίψεως. Ἀντὶ τοῦ ἀπό τῶν κακῶν ἢ ἀπὸ τῆς θλίψεως εἶπεν «ἀπὸ τῆς κακουργίας αὐτῶν», δεικνὺς ὅτι πονηρίᾳ καὶ κακίᾳ πάντα διεπράττοντο κατ' αὐτοῦ, μελέτην τιθέμενοι τὴν κατ' αὐτοῦ ἀδικίαν.

«Ἀπό λεόντων τὴν μονογενῆ μου»

Μονογενῆ συνήθως τὴν ψυχὴν λέγει τὴν ἰδίαν· ἀνωτέρω γὰρ εἰπών «Ἀποκατάστησον τὴν ψυχήν μου», ἐνταῦθα ἐπήγαγε «τὴν μονογενῆ μου», ἀντὶ τοῦ ἣν μόνην κέκτημαι, ἵνα συμπαθεστέραν

---

1. Ψαλ. 34,17. **2.** Ἱερ. 15,15.

δείξῃ τὴν αἴτησιν. Ἀπάλλαξον αὐτήν, φησίν, ἀπὸ τῶν ἀρχόντων τούτων τῶν θρασέων· πλεῖστα γὰρ ἐκίνουν κατ' αὐτοῦ οἱ τοῦ λαοῦ ἄρχοντες, πολλὴν ἐπιδεικνύμενοι κατ' αὐτοῦ τὴν ὀργήν, — οὓς λέοντας καλεῖ. Οὐδὲ γὰρ ἁπλῶς ἔθος τῇ Γραφῇ ταύτῃ τῇ προσηγορίᾳ καλεῖν τοὺς θρασεῖς, ἀλλὰ τοὺς ἐν ἀρχῇ καθεστῶτας καὶ θρασύτητος πεπληρωμένους ἀπὸ τοῦ τοὺς λέοντας τὴν ἀρχήν τε λέγεσθαι ἔχειν τὴν κατὰ πάντων τῶν θηρίων καὶ θρασύτητος γέμειν ὑπερβαλλούσης.

18 «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ἐκκλησίᾳ πολλῇ»

Καὶ ἀνωτέρω τὴν παρὰ τοῦ Θεοῦ αἰτήσας βοήθειαν ἐπήγαγεν ὅτι, εὐχαριστήσω σοι τούτου τυχών («πάντα γὰρ τὰ ὀστᾶ μου ἐροῦσί φησιν Κύριε, Κύριε, τίς ὅμοιός σοι;»[1] **188** καὶ ἐνταῦθα αἰτήσας τῶν κακῶν τὴν ἀπαλλαγὴν ἐπήγαγεν ὅτι «ἐξομολογήσομαί σοι, Κύριε, ἐν ἐκκλησίᾳ πολλῇ»[2], δεικνὺς ὅσον τῆς εὐχαριστίας τὸ μέγεθος καὶ ὅτι ἀναγκαῖον ὄφλημα δικαιότατα πληρούμενον παρὰ τῶν ἀπολαυόντων τῆς τοῦ Θεοῦ δωρεᾶς. Τυχὼν γὰρ τούτου καὶ τὴν ἀπαλλαγὴν εὑράμενος τῶν συμφορῶν, εὐχαριστήσω σοί φησιν ἐπὶ συνόδου πολλῶν, διηγούμενός σου τὰς εἰς ἐμὲ χάριτας.

«Ἐν λαῷ βαρεῖ αἰνέσω σε»

Φανερώτερον Σύμμαχος εἶπεν, 'ἐν λαῷ παμπληθεῖ αἰνέσω σε'. Οὐ μόνον δέ, φησίν, ἐπὶ πλήθους ἕξω σοι χάριτας, ἀλλὰ ὑμνήσω σε τούτων ἕνεκεν. Ἕτερον γάρ ἐστιν «ἐξομολογήσομαι» καὶ ἕτερόν ἐστιν «αἰνέσω». Τὸ μὲν γάρ «ἐξομολογήσομαι» ἀντὶ τοῦ εὐχαριστήσω· εὐχαριστία δέ ἐστι τῶν τοῦ Θεοῦ δωρεῶν ἡ ἐξήγησις. Τὸ δέ «αἰνέσω» ἀντὶ τοῦ ὑμνήσω· ὕμνος δέ ἐστιν ἡ διήγησις τοῦ μεγέθους τοῦ Θεοῦ, ἥτις πληροῦται ἢ τὸ μεγαλεῖον τῆς φύσεως ἐξηγουμένων ἡμῶν ἢ τὴν δημιουργίαν τῆς κτίσεως.

19 «Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ματαίως»

Ἐπειδὴ τοίνυν, φησί, τυχὼν τῶν παρά σου δωρεῶν τὴν δικαίαν εὐχαριστίαν καὶ ὑμνῳδίαν ἀποδίδωμι, μὴ τύχοιεν ὧν ἐπιθυ-

---

1. Ψαλ. 34,10. **2.** Ψαλ. 34,18.

μοῦσιν «οἱ μάτην μοι ἐχθραίνοντες». Τοῦτο γάρ ἐστι τό «μὴ ἐπιχαρείησαν»[1], ἐπειδὴ ὁ θεασάμενος τὰ ἐπιθυμήματα αὐτῷ ἐπὶ τοὺς ἐχθροὺς πληρωθέντα πάντως ἐπιχαίρει τῷ ἐχθρῷ. Καλῶς δὲ προσέθηκε τό «οἱ ἐχθραίνοντές μοι ἀδίκως», δεικνὺς ὅτι δικαίως αὐτοὺς μὴ τυχεῖν ὧν ἐπιθυμοῦσιν ἀξιοῖ, ἐπειδὴ μάτην καὶ ἀδίκως τὴν ἔχθραν ἔχουσι τὴν κατ' αὐτοῦ· διὸ δὴ καὶ δεύτερον αὐτὸ ἐπάγει·

«Οἱ μισοῦντές με δωρεὰν καὶ διανεύοντες ὀφθαλμοῖς»

Προσέθηκε δὲ τό «διανεύοντες ὀφθαλμοῖς»[2], τὸ γινόμενον παρὰ τῶν μισούντων καὶ ἀποστρεφομένων ἐξηγούμενος, οἳ πολλάκις, ἐπειδὰν καθεζόμενοι ἢ παριόντας που **189** ἢ πλησιάζοντας θεάσονται τοὺς μισουμένους, εὐθὺς διαστρέφειν τοὺς ὀφθαλμοὺς εἰώθασι καὶ διανεύειν, ἢ βαρύ τι τὴν θέαν τιθέμενοι τοῦ μισουμένου, — καὶ τοῦτο δεικνύντες ὅση τίς ἐστιν αὐτοῖς ἡ κατ' ἐκείνων ἀπέχθεια —, ἢ καὶ χλευάζοντες αὐτοὺς πολλάκις. Δεικνὺς δὲ αὐτὸ τῆς κακίας τὸ μέγεθος ἐπάγει·

20 «Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν καὶ ἐπ' ὀργὴν δόλους ἐλάλουν»

Προσποιοῦνται μὲν γὰρ ῥήματα εἰρήνης ἔχοντα πρόσχημα φθέγγεσθαι, τὸ δ' ἀληθὲς πάσης ὀργῆς τε καὶ κακίας ἔγεμεν αὐτῶν τὰ ῥήματα. Οὐ γὰρ ἦν εἰρήνης οἷα δὴ ἀπὸ τοῦ σχήματος εἶναι ἐδόκει, ἀλλ' ἦν ἀπὸ πολλῆς κακίας μεθ' ὑποκρίσεως λεγόμενα· δόλους γὰρ ῥάπτοντες καὶ ἐπιβουλὰς κατ' ἐμοῦ διετέλουν, τοιαῦτα λογιζόμενοί τε καὶ στρέφοντες ἐπὶ τῆς οἰκείας ψυχῆς.

Ἔστιν οὖν καθ' ὑπερβατὸν τό «καὶ ἐπ' ὀργὴν γῆς δόλους ἐλάλουν»[3], ἵνα ᾖ τὸ ὀργὴν διὰ μέσου, καθὰ πολλὰ καὶ ἕτερα εὑρήκαμεν.

Λέγει δὲ αὐτὸ συνήθως, ὅτι ἐπὶ τῆς γῆς τοιαῦτα λαλοῦσιν ἢ τοιάδε πράττουσι, καὶ μάλιστα ἐπὶ πονηρίας τῆς κατὰ ψυχὴν αὐτὸ συνήθως κεχρημένος, οἷόν ἐστι τό «καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ»[4], ἐν τῷ νζ' κείμενον· **190** καὶ τό «πονηρίᾳ ἐν

1. Ψαλ. 34,19. 2. Ἐνθ' ἀν. 3. Ψαλ. 34,20. 4. Ψαλ. 57,3.

ταῖς παροικίαις αὐτῶν»[1] ἐν τῷ νδ', ὡς καὶ ἡμῖν ἔθος λέγειν πολλάκις οἷα ἐν τῷδε γίνεται τῷ βίῳ. Οὐχ ἁπλῶς δὲ κέχρηται τῷ ἔθει τούτῳ ὁ μακάριος Δαβὶδ ἀλλὰ πρὸς ἔμφασιν τοιοῦτό τι λέγειν βουλόμενος, ὅτι καὶ ἐπὶ τῆς γῆς ὄντες ὅμως κέχρηνται τῇ πονηρίᾳ, τουτέστιν εὐτελεῖς ὄντες, καὶ τὸ μηδὲν ἀπὸ τοῦ οἰκητηρίου τὸ εὐτελὲς τῆς φύσεως αὐτῶν σημᾶναι βουλόμενος. Καὶ φθέγγονταί φησι καὶ ποιοῦσι πονηρίας μεστά, οὐδὲ πρὸς τὸ θνητὸν τῆς φύσεως αὐτῶν ἀποβλέποντες, — καὶ κἂν διὰ τοῦτο αἰδούμενοι καὶ ἀφιστάμενοι τοῦ δολεροῖς καὶ πονηρίας μεστοῖς κεχρῆσθαι λογισμοῖς.

21 «Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν»

'Αλλὰ καὶ ἐπὶ ταῖς συμφοραῖς αἷς περιεβαλόμην εὐφραίνοντο, καὶ τοιαῦτα ἐφθέγγοντο ἐπικερτομοῦντές μου τοῖς κακοῖς. Τὸ δέ «ἐπλάτυναν τὸ στόμα αὐτῶν»[2] εἶπεν οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ ἡ μὲν θλίψις οἶδε λυπεῖν, ἡ δέ γε ἄνεσις καὶ ὁ πλατυσμὸς εὐφραίνειν. «'Επλάτυναν», εἶπεν, «ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν» ἀντὶ τοῦ εὐφραινόμενοι τοιαῦτα ἐφθέγγοντο κατ' ἐμοῦ οἷα εἰκὸς εὐφραινομένους καὶ τοῖς κακοῖς ἐπιχαίροντας τοῖς ἐμοῖς φθέγγεσθαι.

«Εἶπαν Εὖγε εὖγε, εἶδαν οἱ ὀφθαλμοὶ ἡμῶν»

Τό «εὖγε» φωνή ἐστιν ἀποδεκτική. Τοῦτο οὖν βούλεται εἰπεῖν, ὅτι ὁρῶντες τὰς ἐπαγομένας μοι θλίψεις ἀπεδέχοντο, καὶ ἠρέσκοντο τοῖς γινομένοις, ὡς τὰ ἐπιθυμήματα αὐτῶν ὁρῶντες. Τοῦ δέ «εὖγε εὖγε»[3] τῷ διπλασιασμῷ ἐχρήσατο, τὴν ὑπερβάλλουσαν αὐτῶν εὐφροσύνην ἐπὶ τούτοις δεικνύς.

22 «Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς»

'Εκ μεταφορᾶς τῶν δεσποτῶν, οἳ πολλάκις ὁρῶντες ἄτοπα παρὰ τῶν οἰκετῶν γινόμενα σιωπῶσιν[4], οὐδὲ γὰρ ἐπιπλήττοντες αὐτοῖς.

«Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ»

191 Μὴ μακρύνῃς, φησί, σεαυτὸν ἀπ' ἐμοῦ, ἀντὶ τοῦ μὴ ἄποθεν

---

1. Ψαλ. 54,16. **2.** Ψαλ. 34,21. **3.** 'Ενθ' ἀν. **4.** Πρβλ. Ψαλ. 34,22.

μου τὴν βοήθειάν σου καταστήσῃς· τὸ γάρ «μὴ ἀποστῇς» οὐ τόπῳ λέγει, ἀλλὰ τῇ τῆς διαθέσεως ἐγγύτητι.

23 «Ἐξεγέρθητι, Κύριε, καὶ πρόσχες τῇ κρίσει μου ὁ Θεός μου καὶ ὁ Κύριός μου, εἰς τὴν δίκην μου»

Ἀνάστηθι, φησί, καὶ φρόντισον τοῦ ποιήσασθαι ἐξέτασιν τῶν κατ' ἐμὲ ἀπὸ τῶν πρότερον καθεζομένων, εἶτα διανισταμένων καὶ ἐναρχομένων τοῦ ὅ τί ποτ' ἂν βούλοιντο διαπράττεσθαι. «Ὁ Θεός μου καὶ ὁ Κύριος»[1] κατὰ κοινοῦ τό «πρόσχες» ἀντὶ τοῦ «πρόσχες τῇ κρίσει μου» καί «εἰς τὴν δίκην μου» μελησάτω σοι τῆς ἐξετάσεως τῶν κατ' ἐμέ. Τὸ δέ «ὁ Θεός μου καὶ ὁ Κύριός μου», ἀντὶ τοῦ σὺ ὁ ποιητής μου καὶ ὁ Δεσπότης μου — καὶ πᾶν ὅτι δήποτε, σὺ φρόντισόν μου· δικαίως γὰρ τοῦτο ποιήσεις.

24 «Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην σου, Κύριε ὁ Θεός μου»

Ἐπειδὴ ἠξίωσεν ἀνωτέρω δικάσαι αὐτῷ τὸν Θεόν, ἐνταῦθα ἐπήγαγε τό «Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην σου»[2], ἀντὶ τοῦ ἀξιῶ δὴ τὴν ἐξέτασίν μου μετὰ τοῦ δικαίου τοῦ σοι πρέποντος γενέσθαι. Εἶτα δεικνὺς τῆς αἰτήσεως τὸ εὔλογον ἐπάγει·

«Καὶ μὴ ἐπιχαρείησάν μοι»

Τοῦτο, φησίν, αἰτῶ τὸ τὴν ἐπιθυμίαν αὐτῶν τὴν κατ' ἐμοῦ εἰς πέρας μὴ ἐλθεῖν, μοχθηράν τε οὖσαν καὶ ἄγαν ἀδικωτάτην.

25 «Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν Εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν»

Μὴ τυχόντες φησὶν ὧν ἐπιθυμοῦσιν εὐφρανθῶσι τῇ ψυχῇ ἐπὶ τοῖς κακοῖς τοῖς ἐμοῖς· τὸ γάρ «μὴ εἴποιεν»[3] ἀντὶ τοῦ μὴ εὐφρανθεῖεν, τὸν λόγον ἀπὸ τοῦ ἔργου λέγων ὡς πολλαχοῦ ἀποδέδεικται, — καὶ ἐν αὐτῷ δὲ τῷ ψαλμῷ τούτῳ ἐν ἀρχῇ, ἀντὶ τοῦ γενοῦ τῇ ψυχῇ μου σωτηρία φησίν, «εἰπὸν τῇ ψυχῇ μου Σωτηρία σου ἐγώ εἰμι»[4].

1. Ψαλ. 34,23. **2.** Ψαλ. 34,24. **3.** Ψαλ. 34,25. **4.** Ψαλ. 34,3.

«Μηδὲ εἴπαισαν κατεπίομεν αὐτόν»

Μηδὲ εὐφρανθεῖεν ὡς καταπεπωκότες με, ἀντὶ τοῦ μὴ ἀνελόντες με καὶ ἀφανίσαντες εὐφρανθεῖεν, ὥστε τετυχηκότες τοῦ οἰκείου σκοποῦ.

26 «Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου»

192 Αἰσχύνης δὲ καὶ ἐντροπῆς πληρωθεῖεν μᾶλλον οἱ εὐφροσύνην τὰ ἐμὰ τιθέμενοι κακά· τοῦτο γὰρ δίκαιον. Καὶ τὸ αὐτὸ δὲ πάλιν ἑτέρως φησίν.

«Ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ»

Ὅλοι φησὶ περιβληθεῖες αἰσχύνην οἱ εὐφραινόμενοι ἐπὶ τοῖς ἐμοῖς κακοῖς· τοῦτο γάρ ἐστι τό «οἱ μεγαλοῤῥημονοῦντες ἐπ' ἐμέ»[1]. Ἀκολούθως δὲ καὶ ταῦτα εἶπεν οἷς ἀνωτέρω παρεκάλεσεν, ἀξιώσας αὐτοὺς μὴ εὐφρανθῆναι ἐπ' αὐτῷ τοῖς κακοῖς περιπεπτωκότι. Ἀνάγκη γὰρ ἦν αὐτοὺς ἐπὶ τούτοις μὴ εὐφραινομένους, πάντη τῶν κακῶν ἀπαλλαγέντος τοῦ Προφήτου διὰ τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν, αἰσχύνης πληροῦσθαι ὡς οὐδενὸς ὧν ἐσπούδαζον κατ' αὐτοῦ εἰς ἔργον ἐκβῆναι δυνηθέντος.

27 «Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου»

Ἐκεῖνοι μὲν οὖν τοιαῦτα πάθοιεν, εὐφροσύνης δὲν πληρωθεῖεν οἱ ἐπιθυμοῦντες ἰδεῖν τῶν ἐμῶν κακῶν τὴν ἀπαλλαγήν. Οὐχ ἁπλῶς δὲ ἐκάλεσε τὴν δικαιοσύνην, ἀλλὰ δεικνὺς ὅτι δικαίως εὔξεται τούτοις.

«Καὶ εἰπάτωσαν διὰ παντὸς Μεγαλυνθείη ὁ Κύριος»

Σύμμαχός φησι 'μέγας Κύριος'. Ἐκεῖνος τοίνυν, φησίν, οἱ ἐπιθυμοῦντες τὴν εὐεργεσίαν ἰδεῖν τὴν ἐμήν, εὐφροσύνης δικαίας ἐπ' ἐμοὶ τυχόντες, εἴποιεν ὅτι μέγας ὁ Κύριος, ὁμοίως κἀνταῦθα τό «εἰπάτωσαν»[2] ἀντὶ τοῦ ἔργου λαβών, τουτέστιν ἔργῳ τὴν πεῖραν

---

1. Ψαλ. 34,26. **2.** Ψαλ. 34,27.

λάβοιεν ὅτι μέγας εἶ, ὁ Θεός, ῥυόμενος τοὺς ἐν θλίψεσι καθεστῶτας.

«Οἱ θέλοντες τὴν εἰρήνην τῷ δούλῳ σου»

Οὗτοι, φησίν, οἱ τὴν εἰρήνην ἐπιθυμοῦντες ἰδεῖν τὴν ἐμὴν ταῦτα εἴποιεν, ἀντὶ τοῦ ἐπιτύχοιεν ὧν ἐπιθυμοῦσιν. «Εἰρήνην» δέ «τῷ δούλῳ σου» φησὶ τῶν κακῶν τὴν ἀπαλλαγήν, ὡς ἐν εἰρήνῃ καταστησομένου.

28 «Καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου»

Καὶ μελέτην, φησί, ποιήσομαι τὴν διήγησιν τῆς εὐεργεσίας σου τῆς εἰς ἐμέ, ἀντὶ τοῦ συνεχῶς εὐχαριστῶν σοι ταῦτα ἐξηγήσομαι· τοῦτο γάρ ἐστι τό «μελετήσει», ἐπειδὴ γὰρ τὸ ἐν μελέτῃ καθεστὼς συνεχῶς τις ἐπέρχεται. Κἀνταῦθα δέ «δικαιοσύνην» ἐκάλεσε τοῦ Θεοῦ τὴν βοήθειαν, ὡς δικαίως αὐτῷ παρασχεσθησομένην. Τὸ δέ «ἡ γλῶσσά μου»[1] ἀντὶ τοῦ ἐγώ, ἀπὸ τοῦ μερικοῦ τὸ ὅλον δηλῶν, οὐχ ἁπλῶς ἀπὸ τῆς γλώσσης τὸ ὅλον εἰρηκώς, ἀλλ' ἐπειδὴ αὕτη ἐν ταῖς ἐξηγήσεσι τὸ ἔργον πληροῖ.

«Ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου»

193 Ἀντὶ τοῦ ἀεί· πολλαχοῦ γὰρ λέγει τό «ὅλην τὴν ἡμέραν»[2] ἀντὶ τοῦ διὰ παντός. Ἀεὶ οὖν, φησίν, ἐξηγήσομαί σου τὴν εἰς ἐμὲ εὐεργεσίαν, τούς τε ὕμνους ἀναπέμψω τοὺς εἴς σε διὰ παντός. «Τόν» γάρ «ἔπαινόν σου» βούλεται εἰπεῖν τοὺς ὕμνους· ἐπαίνου γὰρ καὶ ἐγκωμίων ὁ ὕμνος τόπον ἐπέχει, ἐξήγησιν ἔχων τοῦ μεγέθους τῆς φύσεως τοῦ Δεσπότου.

Ψαλμὸς 35

Ἐν τοῖς κατὰ τὸν Σαοὺλ ἐξεταζόμενος ὁ μακάριος Δαβὶδ τοῦτον ἐξεφώνησεν τὸν ψαλμόν, ἡνίκα ὁ μὲν Σαοὺλ ἐδίωκεν αὐτὸν σπεύδων ἀνελεῖν[3]. Ὁ δὲ μακάριος Δαβίδ, καὶ ὑπὸ χεῖρα λαβών, ὅμως οὐ διεχρήσατο οὐδὲ ἀνελεῖν ἐβουλήθη, ἀλλὰ καὶ τοὺς ἰδίους ἐπέσχε τοῦτο ποιῆσαι βουληθέντας, — ἐφ' οἷς ἤδη, καὶ τὸν φακὸν

1. Ψαλ. 34,28. 2. Ἐνθ' ἀν. 3. Πρβλ. Α' Βασ. κεφ. 26-29.

τοῦ ὕδατος λαβὼν παρ' αὐτῷ κείμενον καὶ τὸ δόρυ πλησίον πεπηγός, πόῤῥωθεν ἐπὶ τοῦ ὄρους γενόμενος ἐξεβόησε καλῶν καὶ τὰ ληφθέντα δεικνύς, γνωρίζων τε ὅτι δυνατόν μὲν ἦν αὐτῷ ἀνελεῖν βουλομένῳ, ὅπερ καὶ εὐχερέστερον ἦν ἐκείνῳ διαπράξασθαι ἢ τὰ πλησίον κείμενα ἀπονητὶ καὶ ἀκινδύνως λαβόντα παρελθεῖν. Ὁ δέ γε Σαοὺλ οὐδὲ ἐπὶ τούτοις ἐντραπείς, τέκνον μὲν ἀπεκάλει, καὶ διάθεσιν ἐσχηματίζετο, καὶ ἕλκειν ἐπειρᾶτο πρὸς ἑαυτὸν καὶ βούλεσθαι ἐπὶ τὰ οἰκεῖα ἀνάγειν προσεποιεῖτο, τόδ'ἀληθὲς ἐσχηματίζετο τὴν διάθεσιν ἵν' ὑποχείριον λαβὼν ἀνελῇ· οὐδὲ γὰρ μετ' ἐκεῖνο τοῦ διώκειν ἀπέσχετο, ἔμενε δὲ πλείστῃ χρώμενος ἔτι σπουδῇ πρὸς τὴν τοῦ μακαρίου Δαβὶδ ἀναίρεσιν. Ἀναγκαιότατον δὲ ἦν σφόδρα τοῖς ἐντυγχάνουσι καὶ τοὺς **194** ἐφ' οἷς αὐτὸς ἔπασχεν ὁ μακάριος Δαβὶδ ῥηθέντας ψαλμοὺς ἐγγράφως φέρεσθαι καὶ συντετάχθαι τοῖς ἄλλοις. Τοῦτο γὰρ καὶ ἐν ταῖς βίβλοις τῶν λοιπῶν εὑρίσκεται Προφητῶν· ἐγκείμενά ἐστιν ἰδεῖν καὶ τὰ πάθη τῶν Προφητῶν καὶ τὰς ἐπὶ τούτοις αὐτῶν φωνὰς γεγενημένας, — οἷάπερ ἐστὶν ἡ τοῦ μακαρίου Δανιὴλ καὶ ἡ τοῦ μακαρίου Ἱερεμίου μάλιστα, περιέχουσα καὶ τὰς αὐτοῦ φωνὰς ἃς ἐπί τε τοῖς οἰκείοις ἐποιήσατο παθήμασι καὶ τῇ τῶν Ἰουδαίων ἀπιστίᾳ οὐχ ἁπλῶς τοῦτο τῆς χάριτος οἰκονομησάσης ὥστε πάντα φέρεσθαι ἐγγράφως, ἀλλ' ἵνα μὴ μόνον διὰ τῶν παραινέσεων τῶν προφητικῶν παιδευώμεθα, ἀλλὰ καὶ τὰς πράξεις αὐτῶν ἀκούσαντες μείζονα τὴν ὠφέλειαν λαμβάνωμεν πρὸς μίμησιν ἐντεῦθεν ἐξελκόμενοι. Εἰ γὰρ καὶ οἱ τοιοῦτοι τοῦ μακαρίου Δαβὶδ Ψαλμοὶ ἱστορικὴν ὧν ἔπαθεν ἐξήγησιν οὐκ ἔχουσιν, ἀλλ' οὖν γε διὰ τῶν αὐτοῦ φωνῶν ἐστι γνῶναι ὁποῖός τις ἦν ἐφ' οἷς ἔπασχεν, οὐ περὶ ἀποδυσπετήσεις ἀτόπους ἀσχολούμενος ἀλλὰ περὶ τὴν εὐχαριστίαν τοῦ Δεσπότου τρεπόμενος. Τοιοῦτος γάρ ἐστι μάλιστα οὗτος ὁ ψαλμός, ἐξηγουμένου μὲν τὸν ἐκείνου τρόπον μόνον, τὸ δὲ ὅλον εὐχαριστοῦντος τῷ Θεῷ καὶ δοξάζοντος τῇ διηγήσει τῶν περὶ αὐτοῦ θαυμάτων.

2 «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ»

Οἴεται, φησίν, «ὁ παράνομος ἐν ἑαυτῷ ἁμαρτάνειν»[1], ἀντὶ τοῦ

1. Ψαλ. 35,2.

ἁμαρτάνων λανθάνειν νομίζει, — τοιοῦτο γάρ τι λέγει τό «τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ» —, οἱονεὶ νομίζει ἐν ἑαυτῷ ἁμαρτάνειν καὶ οὐκ εἶναι κατάδηλον αὐτὸν ἡμῖν ἐφ' οἷς βεβούλευταί τε καὶ προήρηται, ἀλλ' «ἐν ἑαυτῷ» κρύπτεσθαι τῆς ἁμαρτίας τὴν πρόθεσιν, ἄγνωστον οὖσαν ἑτέροις. Τοῦτο δὲ εἶπεν εἰκότως ἐπειδὴ σχη**195**ματίζεσθαι διάθεσιν ὁ Σαοὺλ ἐβούλετο, λανθάνειν οἰόμενος τὸν Δαβὶδ ἐφ' οἷς προήρητο, καὶ δὴ καὶ ἀπατᾶν αὐτὸν τῇ κολακείᾳ τῶν ῥημάτων ἐλπίσας. Παράνομον δὲ ἐκάλεσεν, ὡς ἀδικεῖν καὶ φονεύειν εἰκῇ καὶ μάτην παρὰ τὸ βούλημα τοῦ νόμου προῃρημένον. Τὸ δὲ φησὶν ἀπὸ τοῦ πράγματος λαβὼν εἶπεν ὃ διεπράττετο, ὡς καὶ ἐν τῷ θ' ψαλμῷ· Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Ἐπιλέλησται ὁ Θεός[1] (οὐ γὰρ ὅτι τοῦτο πάντως εἶπεν, ἀλλ' ἀπὸ τοῦ πράγματος, ὅτι ὥσπερ οὐκ ἐφορῶντος τοῦ Θεοῦ τοῖς γινομένοις, οὐδὲ προνοουμένου τῶν πενήτων ἠδίκουν ἀδεῶς τὸν προστυχόντα) οὕτως κἀνταῦθα· οὐχ ὅτι τοῦτο εἶπεν ὁ Σαοὺλ ἀλλ' ὅτι ὡς οὐκ ὢν γνώριμος ἐχθρὸς τῷ Δαβίδ, ἔτι δὲ ἀγνοούμενος, οὕτως ὑποκρίνεσθαι ἐπειρᾶτο τὴν πρὸς αὐτὸν σχηματιζόμενος διάθεσιν. Τοῦτο δὲ ἄχρι τῆς δεῦρο τὸ ἔθος καὶ παρὰ τοῖς πολλοῖς κρατοῦν ἐστιν εὑρεῖν, καὶ μάλιστα παρὰ τοῖς ἰδιώταις, οἷον ὅταν τις λέγῃ περὶ τῶν ὑπέρογχον ἐχόντων τὸ φρόνημα· λέγουσί σοι ὅτι ἡμεῖς ἐσμεν καὶ ἕτερος οὐκ ἔστι, — καίτοι οὐ πάντως λέγουσιν, ἀλλ' ἀντὶ τοῦ οἴονται τὸ λέγουσι φάσκων —, κἀνταῦθα τὸ φησὶν ἀντὶ τοῦ οἴεται εἶπεν.

Τινὲς δὲ τό «Φησὶν ὁ παράνομος τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ» οὕτως ἐνόησαν, ἀντὶ τοῦ ἅπαξ ἔκρινε τοῦ ἁμαρτάνειν. Τοῦτο δέ, εἰ καί τισιν ἀκολουθότερον εἶναι νομίζεται, πρὸς τὸ ῥητόν, διὰ τὴν ἀπὸ τῆς ἑρμηνείας αὐτῷ προσοῦσαν δυσχέρειαν, ἀλλ' οὖν γε καὶ τῇ ἀκολουθίᾳ πάσῃ τῆς ἑρμηνείας ἐναντίον· οὐδὲ γὰρ σύμφωνα ταύτῃ τῇ ἑρμηνείᾳ τὰ ἑπόμενα, ὡς τῇ παρ' ἡμῶν ἐκτεθείσῃ καθὼς ἀκριβέστερον ἐντυχόντα ἑξῆς ἐστιν εὑρεῖν. Καὶ τῷ ἑβραϊκῷ δέ, ὅπερ ἐστὶ πάντων κυριώτερον τὸ ἐκεῖθεν ἑρμηνεύεσθαι, ἐναντίον τοῦτο τὸ εἶδος τῆς ἑρμηνείας εἶναι συμβαίνει· διόλου γὰρ αὐτὸν ὡς δόλῳ καὶ θωπείᾳ κεχρημένον αἰτιᾶται. Ἴδιον δέ ἐστι τῶν τῷ

1. Πρβλ. Ψαλ. 9,27.

δόλῳ κεχρημένων τὸ νομίζειν λανθάνειν τοὺς ἐπιβουλευομένους, ὅτι ποτὲ κατὰ διάνοιαν ἔχοντες τῇ τῶν ῥημάτων θωπείᾳ· μὴ γὰρ λανθάνειν ἐλπίσαντες οὐδ' ἂν ἔμειναν ἐπὶ τοῦ σχήματος τῆς ἀπάτης.

«Οὐκ ἔστιν φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ»

Ἀκολούθως τοῦτο καὶ μάλα ἐντρεπτικῶς. Ἔστω γάρ, φησίν, ἐμὲ λανθάνειν νομίζεις, οὕτω σε ἀποβαλεῖν τῆς διανοίας τοῦ Θεοῦ τὸν φόβον ἐχρῆν, ὡς μὴ ἐννοεῖν ὅτι κἂν μυριάκις δόξῃς λανθάνειν ἡμᾶς, τὸν Θεὸν οὐ λήσῃ ἐφ' οἷς βουλεύῃ καὶ μηχανᾷς καθ' ἡμῶν, ἀλλ' ἕξεις αὐτὸν τιμωρὸν τῶν οἰκείων βουλευμάτων. Πόθεν οὖν τοῦτο; Ὅτι τοῦ Θεοῦ τὸν φόβον οὐκ ἔχει πρὸ τῶν ὀφθαλμῶν.

3 «Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ»

196 Ἐξών, φησίν, ἐπ' ὄψεσι ταῖς αὐτοῦ τὸν δόλον ἐργάζεται· δῆλον γὰρ ὡς ὁρᾷ Θεὸς οὐ τὰ γινόμενα μόνον παρ' αὐτοῦ, ἀλλὰ γὰρ καὶ τῆς ψυχῆς τὰ βουλεύματα. Ὥστε εἴπερ εἶχε τοῦ Θεοῦ τὸν φόβον πρὸ τῶν ὀφθαλμῶν οὐκ ἂν ἐκέχρητο τῷ δόλῳ λανθάνειν ἡμᾶς νομίζων (ᾔδει γὰρ ὅτι οὐχ οἷόν τε ἦν λανθάνειν τὸν Θεόν, ἁπάντων αὐτῷ γνωρίμων ὄντων, εἰδότος δὲ ἅπαντα καὶ σαφῶς ἐπισταμένου), εἴπερ ἐδεδίει τὸν Δεσπότην μετὰ πολλῆς ἂν τῆς σπουδῆς τὸ ἁμαρτάνειν ἐφυλάξατο.

«Τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ καὶ μισῆσαι»

Ἐνταῦθα τοῦ δόλου τὴν αἰτίαν ἐξηγεῖται. Διὰ τοῦτο δέ, φησί, πολλοῖς καὶ ποικίλοις κέχρηται τοῖς δόλοις ὥστε «εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ»[1], ἵνα εἴπῃ ὥστε εὑρεῖν τὴν ἑαυτοῦ ἐπιθυμίαν καὶ πληρῶσαι τὸ σπουδαζόμενον αὐτῷ, τὸν κατ' ἐμοῦ φόνον.

«Ἀνομίαν» δὲ καλεῖ τὴν πρόθεσιν τοῦ Σαοὺλ ἀνελεῖν αὐτὸν ἐσπουδακότος, ὡς σφόδρα ἀνόμως καὶ ἀσεβῶς τοιαῦτα βουλευομένου, ὡς καὶ ἐν τῷ νς' φησίν «ἕως οὗ παρέλθῃ ἡ ἀνομίᾳ»[2], ἀντὶ τοῦ μέχρις ἂν τῆς συμφορᾶς αὐτῆς ἀπαλλαγῶ καὶ τῆς ἐφόδου τῶν πολεμίων, ἀνομίαν αὐτὸ καλέσας ὡς σφόδρα ἀδίκως ἐπιχειρούντων. Καλῶς δὲ τό «εὑρεῖν» ἀντὶ τοῦ ἐπιτελέσαι, ἵνα δείξῃ τὴν περὶ

---

1. Ψαλ. 35,3. **2.** Ψαλ. 56,2.

τὸ πρᾶγμα σπουδὴν ἀπὸ τοῦ τοὺς εὑρίσκειν τι βουλομένους σφόδρα ζητεῖν καὶ μετὰ σπουδῆς, ὅπερ καὶ ὁ Σαοὺλ ἐποίει πάντα πράττων εἰς τὸ δυνηθῆναι ἀνελεῖν τὸν Δαβίδ, οὕτως καὶ ὁ Ἠσαΐας «ἐν γὰρ ταῖς νηστείαις ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν»[1], ἀντὶ τοῦ ἐπιτελεῖτε, πρὸς τὸ δεῖξαι καὶ τὴν περὶ τὸ ἁμαρτάνειν σπουδήν.

Τὸ δέ «καὶ μισῆσαι» περὶ τοῦ Θεοῦ λέγει, ὡς τοῦ Θεοῦ μισήσαντος τὸν Σαοὺλ ὑπὲρ τοῦ δόλου καὶ τῆς τοῦ φονεῦσαι σπουδῆς. Οὕτω γὰρ λέγει καὶ Σύμμαχος εἰς τὸ μισηθῆναι, αὐτὸ τὸ γινόμενον ἀκολούθως εἰπών· 'τούτου γὰρ καὶ δόλοις κεχρημένου καὶ πᾶσαν πρὸς τὸ ἀνελεῖν αὐτὸν τιθεμένου σπουδὴν αὐξάνεσθαι αὐτῷ τὸ παρὰ τοῦ Θεοῦ μῖσος ἦν ἀνάγκη'.

4 «Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος»

197 Πάντα τὰ ἄτοπα ἀνομίαν καλεῖ. Ὡς γὰρ ἄνω τὴν ἐπιθυμίαν αὐτοῦ ἀνομίαν ἐκάλεσεν ὡς ἄτοπον οὖσαν, οὕτω καὶ ἐνταῦθα «τὰ ῥήματα» ἀνομίαν ἐκάλεσεν ὡς ἄτοπα, τὰ δέ «ῥήματα αὐτοῦ ἀνομίαν» καλεῖ «καὶ δόλον»[2], οἷς ἐκέχρητο τέκνον καλῶν καὶ διάθεσιν σχηματιζόμενος. Ταῦτα γὰρ δόλος μὲν ἦν ὑποκρινομένου διάθεσιν, «ἀνομία» δὲ ἐπεὶ ἄτοπα λεγόμενα καὶ κατασκευὴν ἔχοντα τοῦ φόνου τοῦ κατ' αὐτοῦ.

«Οὐκ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι»

Σύνεσιν ἀγαθοσύνης ὅλως οὐκ ἔλαβεν, οὐδὲ ἐδέξατό τινα λογισμὸν ἐπὶ τῆς διανοίας τοῦ τι περὶ ἐμὲ διαπράξασθαι καλόν. Καλῶς οὖν ἐκάλεσε δόλον τὰ ῥήματα· εἰ γὰρ οὐδ' ὅλως ἀγαθόν τι περὶ αὐτοῦ ποτε ἐβουλεύσατο, δόλος ἦν ἀληθὴς καὶ πρόσχημα τὰ λεγόμενα.

5 «Ἀνομίαν ἐλογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ»

Τὸ γὰρ ἐναντίον, φησίν, οὐ μόνον οὐκ ἀνεδέξατο ἀγαθὸν λογισμὸν περὶ ἐμοῦ, ἀλλὰ καί «ἐπὶ τῆς κοίτης»[3], καθ' ὃν δ' ἂν ἀναπαύεσθαι καὶ ἡσυχάζειν ἔδει καιρόν, πᾶν εἴ τι ἄτοπον ἐλογίζετο κατ' ἐμοῦ, τῆς ἡσυχίας τὸν καιρὸν ἐν τοῖς κατ' ἐμοῦ λογισμοῖς ἀσχο-

---

1. Ἠσ. 58,3. **2.** Ψαλ. 35,4. **3.** Ψαλ. 35,5.

λῶν, — ὁμοίως κἀνταῦθα «ἀνομίαν» τοὺς περὶ αὐτοῦ λογισμοὺς ὡς ἀτόπους καλῶν. Ἀκολούθως δὲ ταῦτα ἐπήγαγε τῷ «τὰ ρήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος» τὸ γὰρ μήτε «συνιέναι» τι περί αὐτοῦ χρηστὸν καὶ πάντα περὶ αὐτοῦ λογίζεσθαι τὰ ἄτοπα, δόλον ἐδείκνυ σαφῶς τὰ τῆς διαθέσεως ῥήματα, ἐπειδὴ τοίνυν ἄπιστος εἶναι ἐδόκει λέγων καὶ ἀποφαινόμενος περὶ τῶν κατὰ διάνοιαν ὅτι οὐδὲν ἐλογίζετο χρηστὸν καὶ ὅτι πᾶν εἴ τι ἄτοπον ἐνενόει κατ' αὐτοῦ. Καὶ διὰ τοῦτο δόλον ἀποκαλῶν αὐτοῦ τὰ ῥήματα ἐπάγει·

«Παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ»

Δεῖγμα δὲ τοῦτο, φησί, τὸ πάσαις αὐτὸν ταῖς ἀτόποις πράξεσι κατεγχειρεῖν· ὁδὸν γὰρ οὐκ ἀγαθὴν τὴν ἄτοπον πρᾶξιν καλεῖ. Εἰκότως οὖν ἀφ' ὧν ἔπραττεν, ἀτόπων ὄντων, κατεμάνθανε τοὺς τῆς καρδίας λογισμοὺς καὶ ἠπίστει τοῖς ῥήμασιν.

«Κακία δὲ οὐ προσώχθισεν»

Ἐπίτασίς ἐστι τοῦ ἀνωτέρω τοῦ «παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ»[1]. Ὅλως γάρ, φησί, τὸ κακὸν οὐκ ἀπεστράφη, — ἵνα εἴπῃ ὅτι καὶ πᾶν εἴ τι ἄτοπον διεπράξατο, καὶ μῖσος αὐτῷ τῆς ἀτόπου πράξεως οὐκ εἰσῆλθεν —, ἀλλ' ἐπέμενε τῇ πράξει σπουδαίως, οὐδὲ τῷ **198** ἐπιτελέσαι πολλάκις αὐτὴν ἀρκεσθεὶς καὶ εἰς μῖσος ἐλθὼν τῆς ἀτόπου πράξεως. Οὕτως γὰρ λέγει καὶ Ἀκύλας τό «κακίᾳ δὲ οὐ προσώχθισε» 'κακὸν οὐ κατέλιπεν', — ἀντὶ τοῦ οὐκ ἀπέλαβε τοῦ κακοῦ τὴν πρᾶξιν, ἀλλ' ἐπέμενεν ἐν αὐτῇ.

6 «Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου»

Ἐξηγησάμενος τοῦ Σαοὺλ τὸν τρόπον, τρέπεται λοιπὸν ἐπὶ δοξολογίαν τοῦ Θεοῦ, ἀκολούθως τοῖς ἄνω τὴν δοξολογίαν ἐπάγων οἱονεὶ λέγων ὅτι τοιοῦτος μὲν ἐκεῖνος οὕτως τῇ κακίᾳ προστετηκὼς καὶ ἀεὶ τούτου τὴν μελέτην ποιούμενος, μέγας δὲ σύ, ὡς ἀληθῶς, καὶ μεγάλη σου ἡ φιλανθρωπία, ὃς ἐκείνου τε τοιαῦτα ποιοῦντος ἀνέχῃ καὶ ἡμᾶς τῶν τοσούτων ῥύῃ κακῶν ἐν μέσαις ταῖς ἐπιβουλαῖς καὶ τοῖς κινδύνοις στρεφομένους. Τοῦτο γάρ ἐστι

---

1. Ψαλ. 35,5.

καὶ περὶ ἐκείνους ἀνεξικάκως διακειμένου καὶ ἡμῶν πολλὴν ποιουμένου τὴν ἐπιμέλειαν.

«Καὶ ἡ ἀλήθεια σου ἕως τῶν νεφελῶν»

Συνήθως τῷ ἐλέῳ τὴν ἀλήθειαν ἐπισυνῆψεν, τὴν ἀληθῆ λέγων καὶ βεβαίαν τοῦ Θεοῦ φιλανθρωπίαν. Τὸ δέ «ἐν τῷ οὐρανῷ»[1] «ἕως τῶν νεφελῶν» μεγαλύνων τοῦ Θεοῦ τὴν φιλανθρωπίαν τοῖς ἐπαίνοις ἔφη, ἵνα εἴπῃ ὅτι μεγάλη τις καὶ ὑπὲρ ἡμᾶς ἡ φιλανθρωπία σου καὶ ἡ χρηστότης, ἀπὸ τοῦ πλεῖστον ὅσον εἶναι ὑπὲρ ἡμᾶς τὸν οὐρανὸν καὶ τὰς νεφέλας.

7 «Καὶ ἡ δικαιοσύνη σου ὡσεὶ ὄρη Θεοῦ»

Οὐ μόνον δέ, φησίν, ἡ φιλανθρωπία σου μεγάλη, ἀλλὰ καὶ ἡ δικαιοσύνη· φιλανθρωπεύεται γὰρ ὑπερβαλλόντως τοὺς ἀξίους καὶ τὸ δίκαιον νέμει ἑκάστῳ. Κἀνταῦθα δὲ πάλιν τῆς δικαιοσύνης τὸ μέγεθος παραστῆσαι βουλόμενος ὄρεσιν αὐτὴν παρα**199**βάλλει, οὐχ ἵνα τοιαῦτα εἶναι μόνον οἰηθῶμεν τὴν τοῦ Θεοῦ δικαιοσύνην, ἀλλὰ τὸ μέγεθος τῶν ἐπαίνων ἀπὸ τῶν παρ' ἡμῖν νομιζομένων μεγάλων ποιούμενος. Τὸ δέ «ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ»[2] φησίν, οὐχὶ τὴν τοῦ Θεοῦ δικαιοσύνην ὁμοίαν εἶναι ὄρεσιν ἑτέρου Θεοῦ βουλόμενος, ἀλλ' ἀντὶ τοῦ σοῦ. Ἰδίωμα γάρ ἐστι τοῦτο ἑβραϊκόν, τὸ περὶ τοῦ αὐτοῦ διαλεγόμενον ὥσπερ ἐναλλαγὴν προσώπων ποιεῖσθαι· ὅθεν καὶ ἐν τοῖς τῆς Καινῆς Διαθήκης πολλάκις εὑρίσκεται ἐκ τοῦ ἑβραϊκοῦ ἰδιώματος διὰ τῶν μακαρίων Ἀποστόλων μετακομισθέν, ὡς ἐν τῇ πρὸς Ῥωμαίους τό «τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ Ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν»[3], ἀντὶ τοῦ εἰπεῖν ἐκ τῆς Ἀναστάσεως αὐτοῦ τῆς ἐκ νεκρῶν. Εἰ καὶ νῦν σφόδρα αὐτῷ μέλει τοῦ νέμειν ἑκάστῳ τὸ δίκαιον, τίνος ἕνεκεν πολλοὶ μὲν καὶ ἕτεροι πλείστων ἀδίκως πειρῶνται κακῶν, καὶ σὺ δὲ αὐτὸς μάτην ἐν πολλαῖς ἐξετάζῃ συμφοραῖς, ἑξῆς ἐπάγει·

«Τὰ κρίματά σου ἄβυσσος πολλή»

Τὰ βουλεύματα αὐτοῦ, φησί, καὶ τὰ δόγματα, οἷς κεχρημένος

---

1. Ψαλ. 35,6. **2.** Ψαλ. 35,7. **3.** Ρωμ. 1,4.

κρίνει καὶ ἐξετάζει τοὺς ἀνθρώπους, ἀμέτρητά ἐστι δίκην ἀβύσσου· διὰ τοῦτο οὐ δυνατὸν ἐξευρεῖν τίνος ἕνεκεν συγχωρεῖ πολλάκις δικαίους πάσχειν ὑπὸ ἀδίκων, εὑρίσκω δὲ ταῦτα οὕτως ἔχοντα ἐκ τῶν κατ' ἐμέ. Ὅτι μὲν γὰρ πολλή τις αὐτοῦ ἡ κηδεμονία καὶ ἡ περὶ ἡμᾶς πρόνοια δῆλον ἐξ ὧν οὐδέποτέ τι ἀνήκεστον παθεῖν ἡμᾶς συνεχώρησεν, τίνος δὲ ἕνεκεν οὐκ ἐν παντελεῖ καθίστησιν ἀνέσει, ἀλλ' ἐᾷ τέως ὑπ' ἐκείνων ἀδίκως διώκεσθαι, ἀκριβῶς εὑρίσκειν οὐ δύναμαι. Διὰ τοῦτο «τὰ κρίματά σου ἀβύσσου» μοι πάσης ἀνεφικτότερα εἶναι δοκεῖ. Ἐκπλαγεὶς τοίνυν πρότερον μὲν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ καὶ τὴν χρηστότητα, ἔπειτα τὴν δικαιοσύνην, εἶτα καὶ πρὸς τὸ ἀντιπίπτον ἀποκρινόμενος καὶ δεδωκὼς τούτου τὸν λόγον, τίνος ἕνεκεν τοῦ δικαίου φροντίζων πολλάκις συγχωρεῖ δικαίους ὑπὸ ἀδίκων διώκεσθαι, ἐντεῦθεν λοιπὸν πλείονα ποιεῖται τὸν λόγον περὶ τῆς τοῦ Θεοῦ προνοίας, βουλόμενος δεῖξαι ὅτι κήδεται πάντων καὶ σφόδρα αὐτῷ μέλει. Ἐφαίνετο γὰρ διὰ τούτων οὐ περιορῶν τοὺς ἀνθρώπους ἀλλ' ἀῤῥήτῳ τινὶ λόγῳ τὰ καθ' ἡμᾶς οἰκονομούμενος καὶ διὰ τοῦτο μὴ παρέχων ὀξεῖαν πολλάκις τοῖς πάσχουσι τῶν λυπηρῶν τὴν ἀπαλλαγήν. Διὰ τοῦτο ἑξῆς φησιν·

«Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε»

Δῆλον γάρ, φησίν, ὅτι αὐτὸς οἰκονομῶν τι κάλλιστον ταῦτα συγχωρεῖς, ἀκατάληπτα δὲ καὶ ἀνέφικτά σου τὰ κρίματα, ἐξ ὧν τοσαύτη τίς ἐστιν ἡ πρόνοιά σου καὶ ἡ κηδεμονία ὡς μὴ μόνον τοὺς ἀνθρώπους αὐτῆς ἀπολαύειν, ἀλλὰ γὰρ ἤδη καὶ μέχρι τῶν κτηνῶν αὐτὴν κεχύσθαι. Εἶτα ἀκολούθως ἐπήγαγεν·

8 «Ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός»

200 Οὐκοῦν, φησί, μεγάλη μέν σου ἀληθῶς ἡ χρηστότης καὶ ἡ πρόνοια, εἰ καὶ μέχρι τῶν κτηνῶν ταύτην... οὐκ ἐνῆν δὲ τὸν οὕτω πάντων τῆς συστάσεως κηδόμενον, ὡς ἑκάστοτε τὰ πρὸς διατροφὴν αὐτῶν διαφιλῶς διδόναι, διὰ τῶν καθόλου σαφῆ τῆς οἰκείας προνοίας παρεχόμενον τὴν ἀπόδειξιν, ἐν τοῖς κατὰ μέρος τοὺς ἀνθρώπους περιορᾶν μάτην ἀπολλυμένους, — ὥστε δῆλον ὅτι ἔστι τις ἄῤῥητος καὶ ἀνέφικτος λόγος δι' ὃν ταῦτα γίνεσθαι συγχωρεῖς. Εἰρηκὼς δὲ ὅτι πολλὴ ἡ τοῦ Θεοῦ φιλανθρωπία φθάνου-

σα καὶ μέχρι τῶν κτηνῶν, ἵνα μὴ δόξῃ ἰσότητος μεταδιδόναι παρὰ τῷ Θεῷ τοῖς κτήνεσι πρὸς τοὺς ἀνθρώπους, λέγει καὶ τὸ τῶν ἀνθρώπων ἐξαίρετον καί φησιν·

«Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπίζουσιν»

Καὶ κοινῶς μέν, φησίν, ἀπολαύει τά τε κτήνη καὶ οἱ ἄνθρωποι τῆς σῆς κηδεμονίας καθὰ κἀκεῖνα δημιουργῆσαί τε ἠξίωσας καὶ ζωῆς αὐτοῖς μεταδοῦναι ἠβουλήθης, καὶ τῆς προνοίας αὐτὰ καταξιοῖς τῆς σῆς, τὸ διαμένειν αὐτοῖς χαριζόμενος δι' ἐκείνων ἅπερ ἀπὸ τῆς γῆς ἀναδίδοσθαι πρὸς τὴν σύστασιν αὐτῶν πεποίηκας. Οἱ δέ γε «τῶν ἀνθρώπων υἱοί», τουτέστιν οἱ ἄνθρωποι, ἔχουσί τι πλέον καὶ ἐξαίρετον παρ' ἐκεῖνα, τὸ ἐπὶ τῇ βοηθείᾳ ἐλπίζειν τῇ σῇ. «Σκέπην» γάρ «τῶν πτερύγων»[1] καλεῖ τὴν βοήθειαν ἐκ μεταφορᾶς τῶν ὀρνίθων, ἃ τῇ σκέπῃ τῶν πτερύγων ἔνδον σκέπει τοὺς νεοσσούς[2]... Βούλεται δὲ εἰπεῖν ὅτι τοῖς ... ὅς τι δέδωκας, τὴν γνῶσιν τὴν σὴν καὶ τὰ ἐντεῦθεν καλά· ἐκεῖνα μὲν γὰρ ἄλογα γενόμενα ἐστέρηται τούτου, Θεὸν γνωρίζειν οὐκ ἔχοντα δύναμιν, — τουτουσὶ δὲ λογικοὺς πεποιηκώς, φύσιν αὐτοῖς καὶ δύναμιν δέδωκας τοῦ δύνασθαι τῆς σῆς ἐφικνεῖσθαι γνώσεως. Καλῶς οὖν τό «ἐλπίζουσιν» ἀντὶ τοῦ γινώσκουσιν εἶπε, τοῦτο βουληθεὶς παραστῆσαι ὅτι τὰ μὲν κτήνη τῶν κοινῶν ἀπολαύει μόνον καὶ τῶν ἐν τῇ φύσει δοθέντων αὐτοῖς τὴν ἀρχήν, οἱ δὲ ἄνθρωποι καὶ γινώσκειν σε ὡς Θεὸν καὶ κηδεμόνα λαβόντες παρά σου καὶ τὸ ἐλπίζειν ἐπί σοι ὡς εὐεργέτῃ διὰ τούτου κτησάμενοι, ἀπολαύουσι καὶ ἰδικῶν πολλῶν τῶν κατὰ μέρος, ὅσαπερ αὐτοῖς τὸ βέβαιον τῆς εἴς σε ἐλπίδος παρέχειν ἐπίσταται.

9 «Μεθυσθήσονται ἀπὸ πιότητος τοῦ οἴκου σου»

201 Ἔχουσι δέ, φησίν, ἐντεῦθεν καὶ τὸ ἀπολαύειν τῶν ἐν τῷ οἴκῳ σου λειτουργικῶν τε καὶ θυσιῶν· πιότητα γάρ «τοῦ οἴκου» τοῦ Θεοῦ καλεῖ τῶν λειτουργιῶν τὴν ἐκπλήρωσιν, ἐπειδὴ δόξα καὶ εὐθηνία ἦν τοῦ οἴκου τὸ τὰς προσηκούσας ἐν αὐτῷ λειτουργίας

---

1. Ψαλ. 35,8. 2. Πρβλ. Ματθ. 23,37.

ἀποπληροῦσθαι. Ἔστι δὲ καὶ τοῦτο ἐξαίρετον τῶν ἀνθρώπων· γνῶσιν γὰρ οὐκ ἔχοντα τοῦ Θεοῦ τὰ κτήνη, οὔτε οἶκον οἶδεν ἀφωρισμένον Θεῷ, οὔτε ἱερέας ἔχει Θεοῦ, οὔτε λειτουργίαν ἐπίσταται, οὔτε τόπον τῆς τοιαύτης συνελεύσεως.

«Καὶ τὸν χειμάῤῥουν τῶν τρυφῶν σου ποτιεῖς αὐτούς»

Ἔχουσι δὲ καὶ τοῦτο ἐξαίρετον τὸ ἀθρόως πολλῶν τῶν παρά σου τρυφῶν ἀπολαύειν. Καὶ οὐκ εἶπε τρυφῆς ἀλλά «τρυφῶν» πληθυντικῶς, ἐπειδὴ πολλὰ καὶ διάφορα τὰ ἀπὸ τῆς γῆς ἀναδιδόμενα πρὸς τὴν τῶν ἀνθρώπων μετάληψιν· ποτά τε καὶ ἐδέσματα σπερμάτων διάφορα καὶ καρπῶν ποικιλίαι, καὶ ὅλως πολλή τίς ἐστι καὶ διάφορος καὶ πολυειδὴς ἡ τῶν ἀγαθῶν μετάληψις, ὧνπερ ἀπολαύειν συμβαίνει τοὺς ἀνθρώπους πολλὴν κεκτημένους ἐντεῦθεν τὴν τρυφήν, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν κτηνῶν μονοειδής τίς ἐστι τῶν ἐκ τῆς γῆς ἀναδιδομένων ἡ τροφή. «Χειμάῤῥουν» δέ «τῶν τρυφῶν»[1] εἶπε τὸ ἀθρόον τῆς παρουσίας σημαίνων, ὅτι μὴ πολλὰ ὄντα καὶ διάφορα ἐν διαφόροις χορηγεῖται τοῖς καιροῖς, νῦν μὲν τούτων ἀναδιδομένων, νῦν δὲ ἄλλων, μετ᾽ ὀλίγον δὲ αὖθις ἑτέρων, ἀλλ᾽ ὑπὸ τοὺς αὐτοὺς καιροὺς ἡ πάντων ἀνάδοσις γίνεται ταῖς αὐταῖς τροπαῖς πάντων συμπληρουμένων τῶν καρπῶν, καίτοι πολλῶν καὶ διαφόρων. Καὶ οὐκ εἶπεν ψωμιεῖς ἀλλά «ποτιεῖς», ἵνα δείξῃ τὸ ἄφθονον καὶ εὐμαρὲς τῆς **202** μεταδόσεως, ἐπείπερ εὐχερές ἐστι μεταλαμβάνειν ποτοῦ τὸν βουλόμενον καὶ οὐχ ὥσπερ... ἐδεσμάτων ἐγχρονίζοντα καὶ πόνων δεόμενον εἴς τε τὴν τῶν ὄψων σκευασίαν, καὶ μετὰ τοῦτο τὴν μάσησιν, τὴν πέψιν, τὴν ἔκκρισιν. Εἶτα ἀκολούθως ἐπάγει·

10 «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς»

Παρέχεις οὖν, φησί, τούτων ἀθρόον τοῖς ἀνθρώποις τὴν μετάληψιν, ἐπείπερ ἀφθόνως αὐτοῖς παρέχεις τὴν ζωὴν καὶ μονονουχὶ πηγάζειν αὐτὴν ἐδοκίμασας, οὕτω διὰ πάντων αὐτὴν συῤῥεῖν ἐπ᾽ αὐτὴν παρασκευάζων· πηγὴν γὰρ ζωῆς ἐκάλεσε τὸ ἄφθονον τῆς χορηγίας, ἀπὸ τοῦ ἄφθονον ἀεὶ ἀπὸ τῶν πηγῶν προχεῖσθαι τὸ

1. Ψαλ. 35,9.

νᾶμα. Τοῦτο οὖν εἶπεν ὅτι πηγάζεις ἡμῖν τὴν ζωήν, ἀφθόνως αὐτὴν παρέχων διὰ τοῦ πλήθους καὶ τῆς ποικιλίας τῶν διδομένων ἡμῖν παρά σου πρὸς σύστασίν τε καὶ ζωήν, — οὐχ, ὥς τινες ᾠήθησαν, ὅτι «πηγὴν ζωῆς»[1] καλεῖ τὸν Υἱόν. Τοῦτο γὰρ ἔθος τῇ Γραφῇ, καὶ μάλιστα τῷ μακαρίῳ Δαβίδ, τὸ λέγειν καὶ θησαυροὺς εἶναι τῶν δημιουργημάτων, — ὡς ὅταν λέγῃ «ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ»[2]—, καὶ θησαυροὺς τιμωριῶν, — ὡς ὅταν λέγῃ «καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν»[3]—, ἵνα δείξῃ ἀφθόνως ἅπαντα αὐτῷ παρόντα ὥσπερ ἀπό τινων θησαυρῶν ἀνελλειπῶς προφέροντος ὅσα βούλεται. Οὕτω καί «πηγὴν ζωῆς» τὸ τῆς ζωῆς ἄφθονον καλεῖ· ὥσπερ γάρ «χειμάῤῥουν τρυφῶν» οὐχ ὑπόστασίν τινά φησιν ἀλλὰ τὸ ἀθρόον καὶ δαψιλὲς τῶν διδομένων, οὕτω καί «πηγὴν ζωῆς» οὐχ ὑπόστασίν τινα, ἀλλὰ τὸ ἄφθονον τῆς ζωῆς.

«Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς»

Καὶ τοῦτο πάλιν τινὲς οὕτως ἐξέλαβον· «ἐν τῷ φωτί σου», φησίν, ἐν τῷ Υἱῷ, «ὀψόμεθα φῶς», τὸ Πνεῦμα τὸ Ἅγιον. Ἔχει γὰρ οὐ ταύτην τὴν ἔννοιαν· ἄτοπον γὰρ σοφίσμασι κεχρημένους τὰ οἰκεῖα κατασκευάζειν δόγματα, κἂν τὴν ἀλήθειαν τοῖς δόγμασι προσεῖναι συμβαίνῃ —, δυνατὸν γὰρ μετὰ ἀληθείας τῆς προσηκούσης ποιεῖσθαι μάλιστα τῶν τῆς ἀληθείας δογμάτων τὴν σύστασιν.

Ὃ δὲ βούλεται εἰπεῖν τοιοῦτόν ἐστιν. Οὐδὲν τῶν ὄντων ὁρᾶν ἄνευ φωτὸς δυνάμεθα· ὅταν γὰρ ἔρημοι τυγχάνωνεν φωτὸς ἐν σκότῳ καθεστῶτες οὐδενὸς ἔχομεν τῶν παρόντων διάκρισιν, φωτὸς δὲ παρόντος ἅπαντα ὁρῶμέν τε καὶ διακρίσει ὑποβάλλομεν. Πρὸς οὖν τὸ θεωρεῖν τὰ ἄλλα χρῄζομεν τοῦ φωτός, αὐτὸ δὲ τὸ φῶς οὐκέτι ἑτέρου τινὸς χρῄζει πρὸς τὸ ὁρᾶσθαι ὑφ' ἡμῶν, ἀλλ' αὐτῷ τῷ φωτὶ συνεργῷ χρώμενοι οὕτω τε τὸ ὁρᾶν προσλαμβάνοντες διὰ τοῦ φωτὸς ἅπαντά τε θεωροῦμεν τὰ λοιπὰ καὶ δὴ **203** καὶ αὐτὸ τὸ φῶς. Τὸ οὖν «ἐν τῷ φωτί σου ὀψόμεθα φῶς»[4] τοῦτο βούλεται εἰπεῖν ὅτι ἐν αὐτῷ τῷ φωτὶ ἀπολαύομέν σου τοῦ φωτός, τουτέστι

1. Ψαλ. 35,10. **2.** Ψαλ. 134,7. **3.** Ψαλ. 16,4. **4.** Ψαλ. 35,10.

τὸ φῶς τὸ δοθὲν ἡμῖν παρὰ σοῦ παρέχει ἡμῖν καὶ τὸ ὁρᾶν καὶ τὸ ὁρῶντας αὐτοῦ πρότερον ἀπολαύειν, — ὡς εἶναι διπλῆν ἡμῖν ἐκ τοῦ φωτὸς τὴν χάριν, τήν τε τῶν ἄλλων θέαν καὶ τὴν αὐτοῦ τοῦ φωτὸς ἀπόλαυσιν. Τοῦτο οὖν ἠβουλήθη εἰπεῖν ὅτι καὶ τὴν ζωὴν ἄφθονον ἡμῖν παρέχεις καὶ δέδωκας ἡμῖν σύντομον τοῦ φωτὸς τὴν ἀπόλαυσιν, ἐν αὐτῷ τῷ φωτὶ τὸ ἀπολαύειν σου τοῦ φωτὸς χαρισάμενος, ἵνα μὴ ἑτέρου τινὸς χρῄζωμεν πάλιν πρὸς τὴν τοῦ φωτὸς θέαν ὥσπερ ἐπὶ τῶν ἑτέρων, ἀλλ' αὐτὸ τὸ φῶς ἔχοντες ἀρκοῦν καὶ πρὸς τὴν οἰκείαν θέαν, εὐθὺς ἐν τῇ τοῦ φωτὸς ἀνατολῇ τό τε ὁρᾶν προσλαμβάνομεν καὶ τὸ αὐτοῦ ἀπολαύειν — διόλου τῆς δωρεᾶς τοῦ Θεοῦ τὸ δαψιλὲς καὶ ἄφθονον παραστῆναι βουληθεῖς. Διὸ τούτων μάλιστα ἐμνημόνευσε τῶν δύο, τῆς τε ζωῆς, — ἐξ ἧς ὅτι τὸ εἶναί τε ἡμῖν αὐτὸ καὶ συνεστάναι παρέσχεν ἐδήλου —καὶ τῆς τοῦ φωτὸς ἀπολαύσεως, δι' ἧς ἐγνώριζε τὸ τερπνὸν τῆς ζωῆς. Τοῦτο δὲ μέγιστον ἐν τῇ ζωῇ μάλιστα καὶ χρησιμώτατον ἡμῖν ἡ τοῦ φωτὸς ἀπόλαυσις, ὡς καὶ αὐτὸ περιττὸν ἡμῖν τὸ ζῆν ἄνευ τῆς χρείας τοῦ φωτός· ἐν γὰρ τῷ φωτὶ πρόσεστιν ἡμῖν καὶ τὸ βαδίζειν, καὶ τὸ μεταχειρίζεσθαι τὰ πρακτέα, καὶ τὸ διακρίνειν τὰ παρόντα, καὶ τὸ ταῖς τέχναις κεχρῆσθαι, — καὶ ὅλως ἐν φωτὶ πάντα διαπραττόμεθα ὅσαπερ ἂν βουλώμεθα, ἐν αὐτῷ δὲ καὶ τῶν τερπνῶν καὶ τοιούτων ἔχομεν τὴν διάγνωσιν, καὶ τῶν ὡραίων καὶ μὴ τοιούτων ποιούμεθα τὴν διάκρισιν. Τοῦτό τε ἡμῖν συντόμως εἰπεῖν πρὸς ἅπαντα χρησιμώτατον ἐν τῇ ζωῇ καθέστηκεν, δύο τοίνυν τῶν κορυφαίων τῇ μνήμῃ τὴν παντελῆ τοῦ Θεοῦ περὶ ἡμᾶς ἐξηγήσατο δωρεάν, διὰ πάντων οὐ Δημιουργὸν μόνον, ἀλλὰ καὶ προνοητὴν ἐπιδείξας σαφῶς, ἐξ ὧν οὐχ ἡμᾶς πεποίηκε μόνον ἀλλὰ καὶ ἕτερα πολλὰ ὧν τοῖς μὲν τὸ διαμένειν ἡμῖν καὶ συνεστάναι ἐδωρήσατο, τοῖς δὲ τὸ τερπνὴν καὶ ὠφελιμωτάτην ἔχειν τῆς ζωῆς τὴν ἀπόλαυσιν. Μέχρι δὲ τούτων ἐξηγησάμενος τίνα ἰδιαζόντως ὑπὸ τοῦ Θεοῦ τοῖς ἀνθρώποις δεδώρηται ὑπὲρ τὰ κτήνη, ἐξηγεῖται καὶ ἐν τοῖς ἀνθρώποις πάλιν τίνα προσήκει ὑπερβολὴν ἔχειν τοὺς δικαίους ὑπὲρ τοὺς λοιποὺς τῶν ἀνθρώπων. Καὶ τί φησιν;

11 «Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε»

Ὥσπερ δέ, φησίν, οἱ ἄνθρωποι ἔχουσί τι πλέον παρὰ τὰ κτήνη, οὕτως ἐχέτωσάν τι πλέον καὶ ἐν τοῖς ἀνθρώποις οἱ δίκαιοι τοῦ

ἐλέους τὴν παράτασιν, ἵνα μὴ δόξῃ ἴση περὶ πάντας εἶναι ἡ φιλανθρωπία, ἀλλὰ γὰρ μετὰ τοῦ δικαίου κατ' ἀξίαν **204** ἑκάστῳ νεμομένη φαίνηται ἔχουσα ἐπὶ τῶν δικαίων τὴν παράτασιν, διαρκῶς αὐτῆς ἀπολαυόντων ἐκείνων διὰ τὴν ἀξίαν τῆς οἰκείας δικαιοπραγίας. Ἄνω μὲν οὖν τὴν διαφορὰν λέγων τῶν ἀνθρώπων τὴν πρὸς τὰ κτήνη φησίν «οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι»[1], τουτέστιν οὕτω κατεσκευάσθησαν παρά σου ὥστε δύνασθαι, εἰ βούλοιντο, καὶ γινώσκειν σε καὶ ἐλπίζειν ἐπί σοι καὶ τῶν ἐνταῦθα ἀπολαύειν καλῶν· ἐνταῦθα δὲ περὶ τῶν ἐπιμελομένων τοῦ πράγματος λέγων καλῶς εἶπε «τοῖς γινώσκουσί σε»[2], τουτέστι τοῖς ἐπιμελομένοις τοῦ πρέποντος κατὰ τὴν ἐναποτεθεῖσαν αὐτοῖς τῇ φύσει δύναμιν παρά σου, τούτοις ἐπέκτεινόν σου τὴν κηδεμονίαν. Διὸ καὶ ὡς προσευχόμενος εἶπε «Παράτεινον τοῖς γινώσκουσιν», ἐπειδὴ τοῖς μὲν ἀνθρώποις τὸ πλέον παρὰ τὰ κτήνη καὶ τὸ δύνασθαι γνωρίζειν τὸν Θεὸν ἐν τῇ τῆς φύσεώς ἐστι κατασκευῇ καὶ τῇ τοῦ Θεοῦ δημιουργίᾳ, ἡ δέ γε ὑπεροχὴ τῶν δικαίων ἡ πρὸς τοὺς λοιποὺς τῶν ἀνθρώπων οὐκ ἀπό τινός ἐστιν ἀκολουθίας φυσικῆς, ἀλλὰ προσευχῇ κατορθοῦται καὶ ἀρετῆς ἐκπληρώσει.

«Καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ»

Καλῶς ἐπὶ τούτων τό «ἔλεος», καί «δικαιοσύνην» ἐκάλεσεν, ἐπειδὴ καὶ δικαίως ἀπὸ τοῦ τρόπου τῶν παρὰ τοῦ Θεοῦ καλῶν ἀπολαύειν ἤμελλον.

12 «Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας»

«Πόδα» ἡ ἑβραῒς καλεῖ τὴν ἐπίβασιν· οὕτω γὰρ καὶ ἀλλαχοῦ, «ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου»[3], ἀντὶ τοῦ ἐπιβήσομαι αὐτῶν καὶ καταπατήσω αὐτούς. Τοῦτο οὖν, φησί, «μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας»[4], τουτέστι μὴ ἐπιβαῖέν μου οἱ πολέμιοι.

«Καὶ χεὶρ ἁμαρτωλῶν μὴ σαλεύσαι με»

«Χεῖρα» πάλιν καλεῖ τὴν κράτησιν τῶν πολεμίων, ἀπὸ τῶν μελῶν τὰ προσόντα λέγων καὶ τὰς τῶν μελῶν ἐνεργείας. Μὴ δὲ

---

1. Ψαλ. 35,8. **2.** Ψαλ. 35,11. **3.** Ψαλ. 59,10. **4.** Ψαλ. 35,12.

κρατήσαντές μου, φησί, σαλεύσαιέν με, περιτρέψαντες ἐπὶ τὰ κακά. Ἀπὸ δὲ τῶν κατὰ τὸν Σαοὺλ εὔχεται καὶ πάσης ἐφόδου πολεμίων ἀπαλλαγῆναι καὶ πάσης κρατήσεως.

13 «Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»

Ἀντὶ τοῦ ἐπὶ τούτου τοῦ πράγματος τῆς ὑπερηφανίας δὲ λέγει..... ἐκεῖ εἰς τὸν πόδα τῶν ὑπερηφάνων καὶ τὴν χεῖρα τῶν ἁμαρτωλῶν, ἵνα εἴπῃ ὅτι τοὺς ἁμαρτωλοὺς ἔθος καὶ ἐν ταῖς τῶν ἐθνῶν ἐπιβάσεσιν ἡττᾶσθαι καὶ κρατεῖσθαι **205** πάντοτε ὑπὸ τῶν πολεμίων, ἐπειδὴ διὰ τὴν τοῦ τρόπου μοχθηρίαν ἔρημοι τῆς σῆς εἰκότως καθεστήκασι βοηθείας (οὕτω γὰρ λέγει καὶ Σύμμαχος, ὅπου πίπτουσι «πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»[1]), μὴ τὰ αὐτὰ ο‹ὖν› πάθοιμι ἐκείνοις τοῖς ἁμαρτωλοῖς ὑπὸ τοῖς πολεμίοις γενόμενος.

«Ἐξώσθησαν καὶ οὐ μὴ δύνωνται στῆναι»

Οἱ γὰρ τοιοῦτοι φησίν, «οἱ τὴν ἀνομίαν ἐργαζόμενοι» οὐχ ἡττῶνται μόνον ὑπὸ τῶν πολεμίων, ἀλλὰ καὶ ἐξωθῶνται εἰς τὸ παντελές, ὡς μηκέτι ἀντισχεῖν δυνηθῆναι τοῖς κακοῖς. Καὶ τοῦτο τῶν συμβάντων τῷ Σαοὺλ ἐξηγεῖται· καὶ γὰρ κἀκεῖνος ἅμα τοῖς σὺν αὐτῷ ἐν τῇ τῶν πολεμίων ἐπιβάσει θανάτῳ τε ὑπέπεσε καὶ ἀντισχεῖν τοῖς κακοῖς οὐκ ἠδυνήθη.

Ψαλμὸς 36

Πάντες μὲν οἱ Ψαλμοὶ τῷ μακαρίῳ Δαβὶδ πρὸς τὴν ὠφέλειαν βλέπουσι τῶν ἀνθρώπων, οὐχ ἑνὶ δὲ τρόπῳ κέχρηται αὐτοῖς· ὅπου μὲν γὰρ δογματικοὺς ἐκτίθεται λόγους, ὅπου δὲ ὑμνῳδίας ἀπὸ τῆς δημιουργίας πλέκει τῷ Δεσπότῃ. Ἔστι δὲ καὶ ὅπου καὶ πράγματα ἐσόμενα ὑποτίθεται, ὁμοῦ τε ἐκεῖνα προφητεύων καὶ τὴν ἀπ' αὐτῶν ὠφέλειαν ἐργαζόμενος ταῦτα παραινῶν ἃ συμβουλεύειν ἀπὸ τῆς ὑποθέσεως περὶ ἧς ποιεῖται τὸν λόγον ἡγεῖται κατάλληλον. Ἔστι δὲ ὅπου καὶ ἐκ τῶν καθ' ἑαυτὸν παιδεύει τοὺς ἀκούοντας, **206** διδάσκων ὅπως περὶ τῶν συμβαινόντων ἕκαστον

1. Ψαλ. 35,13.

διατίθεσθαι προσήκει καὶ τί μὲν προσήκει λέγειν ἐν ἁμαρτίαις ἐξεταζόμενον, τί δὲ προσήκει φθέγγεσθαι ἐν συμφοραῖς καθεστῶτα: Ἔστι δὲ ὅπου καὶ παραινέσεις ἐκτὸς ὑποθέσεως ποιεῖται, ἀπαγορεύων ὅσον τε καὶ ἀπέχεσθαι χρή, συμβουλεύων ἃ πράττειν προσήκει· οἷος δὴ καὶ οὗτος ὁ ψαλμός.

Οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων πεφύκαμεν, μάλιστα τοὺς πονηροὺς ὁρῶντες ἐν εὐθηνίᾳ, δάκνεσθαι καὶ λέγειν ὡς οὐδὲν ὄφελος τῆς δικαιοσύνης. Πλεῖστοι γὰρ τῶν δικαίων ἐν συμφοραῖς καθεστήκασι, καὶ ταῦτα ὑπὸ φαύλων ἀνθρώπων πάσχοντες· τοῦτο δὲ ὃ μάλιστα βαρυτέραν ἐργάζεται τῆς συμφορᾶς τὴν αἴσθησιν, ἀλλ' οὐδὲ ἐπιβλαβὲς ἡ πονηρία τῷ διαπραττομένῳ ἐξ ὧν πολλοὶ φαῦλοι τὸν τρόπον ἐν πλούτῳ καὶ εὐθηνίᾳ ἐξετάζονται οὐδὲν ὑφιστάμενοι δεινόν.

Τοῦτο τὸ νόσημα ἐξησόμενος, τὸν πλεῖστον ἐν τῷ ψαλμῷ περὶ τούτου κατατείνει λόγον.

1 «Μὴ παραζήλου ἐν πονηρευομένοις»

207 Ζηλοῦν λέγεται κυρίως τὸ ὁρῶντα ἕτερον ἔν τινι ἀγαθῷ, ἢ ἀληθῶς ὄντι ἢ νομιζομένῳ, θαυμάζειν καὶ ἐκπλήττεσθαι ἐπὶ τῷ προσόντι ἀγαθῷ, — ὅθεν καὶ ζηλωτὸς ἄνθρωπος λέγεται ὁ περίβλεπτος καὶ μακαριστὸς τοῖς πολλοῖς καθεστώς· ἐνταῦθα οὖν τό «Μὴ παραζήλου ἐν πονηρευομένοις[1]», ἀντὶ τοῦ μὴ θαύμαζε τοὺς τοιούτους τοῦ πλούτου ἕνεκεν καὶ τῆς εὐθηνίας. Οὐδὲ γὰρ ἁπλῶς περὶ πονηρευομένων ποιεῖται τὸν λόγον, ἀλλὰ τῶν πονηρῶν καὶ ἐν εὐθηνίᾳ καθεστώτων. Τοῦτο δὲ δηλοῖ διὰ τοῦ «Μὴ παραζήλου» (οὐδεὶς γὰρ πονηρίας μόνης ἕνεκεν θαυμάζει τινά) καὶ τοῦτο ἐν τοῖς ἑξῆς φανερώτερον λέγει «μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ[2]», ἀντὶ τοῦ μὴ μακάριζε τὸν ὅσα βούλεται διαπράττεσθαι δυνάμενον ὡς ἰσχυρόν.

«Μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν»

Ἔστι μὲν συμπλοκὴ τοῦ προτέρου, ἔχει δέ τι πλέον. «Μὴ παραζήλου» μὲν γάρ «ἐν τοῖς πονηρευομένοις» εἰπών, ἑνὸς εἴδους

---

1. Ψαλ. 36,1. **2.** Ψαλ. 36,7.

ἐμνήσθη κακίας, τοῦ πονηρεύεσθαι. Προστεθεικὼς δὲ μὴ ζηλοῦν «τοὺς ποιοῦντας τὴν ἀνομίαν», περιληπτικῶς τῷ τῆς ἀνομίας ὀνόματι τὸν πᾶσαν ἔκτοπον πρᾶξιν ἐργαζόμενον ἀπεφήνατο, μηδένα μακαρίζειν ὑπὲρ τῆς ἐν τῷ βίῳ εὐθηνίας, ἐλεεινὸν δὲ ὑπὲρ τῆς ἁμαρτίας ἡγεῖσθαι.

2 «Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται»

Κἂν γὰρ ἐν εὐθηνίαις, φησίν, ἐξετάζεσθαι νομίζωσιν, ἀλλ' ἀπόβλεψον πρὸς τὸ πρόσκαιρον τῆς εὐθηνίας, ὅτι δίκην χόρτου μαραίνεται αὐτοῖς τὰ τῆς εὐπραγίας. Ἔδειξε δὲ ἐνταῦθα φανερώτερον ὅτι περὶ πονηρῶν ὁ λόγος αὐτῷ τῶν ἐν τῷ βίῳ εὐθηνουμένων, ἀπὸ τοῦ «ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται»[1].

«Καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται»

Φανερώτερον εἶπεν Ἀκύλας 'καὶ ὡς χλωρὸν χλόης'· ὥσπερ ἐκείνου τὸ χλωρὸν εὐθέως μεταβάλλεται εἰς λευκότητα τῆς τοῦ ἡλίου θερμότητος ἐπιπεσούσης, οὕτως εὐχερῶς καὶ τούτοις ἡ εὐθηνία διαλύεται.

3 «Ἔλπισον ἐπὶ Κύριον καὶ ποίει χρηστότητα»

208Ἐκείνους οὖν, φησί, παῦσαι μακαρίζων διὰ τὸ εὐμετάπτωτον, περίμενε δὲ παντὸς ἀγαθοῦ μετουσίαν ἐκ τοῦ Θεοῦ καὶ διαπράττου τὰ πρέποντα. «Χρηστότητα» γὰρ εἶπεν ἀντὶ τοῦ πᾶν εἴ τι χρηστὸν καὶ ἀγαθόν. Πρῶτον οὖν εἶπεν «Ἔλπισον ἐπὶ Κύριον» εἶτα «καὶ ποίει χρηστότητα»[2], ἵνα μὴ ἁπλῶς πράττῃς τὸ ἀγαθόν, ἀλλὰ διὰ τὴν εἰς τὸν Θεὸν ἐλπίδα.

«Καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς»

Τὸ κατασκηνοῦν οὐκ ἀντὶ προστάγματος ἢ παραινέσεως τίθησι, ἀλλὰ τὸ ἑπόμενον τῇ ἐπὶ τὸν Θεὸν ἐλπίδι καὶ τῇ τῆς χρηστότητος πράξει λέγων, ἀντὶ τοῦ κατασκηνώσεις ἐπὶ τῆς γῆς, «καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς», ἵνα εἴπῃ ὅτι ἔσῃ ἐπὶ τῆς γῆς ἀπολαύων πάντων αὐτῆς τῶν ἀγαθῶν· πλοῦτον γὰρ τῆς γῆς καλεῖ τὰ

---

1. Ψαλ. 36,2. 2. Ψαλ. 36,3.

ἐξ αὐτῆς ἀγαθά. Τὸ οὖν «ποιμανθήσῃ» τουτέστιν ὑπὸ τοῦ Θεοῦ· αὐτὸς σοῦ, φησίν, ἐπιμελήσεται καὶ κατασκηνώσει σε ἐν τῇ ἀπολαύσει τῶν ἐκ τῆς γῆς ἀγαθῶν, — γῆς λέγων τῆς ἐπαγγελίας, ἐπειδὴ τοῖς ἐν νόμῳ διαλέγεται, καὶ τοῦτο ἐν μέρει τιθεμένοις μακαρισμοῦ τὸ κατοικεῖν ἐν αὐτῇ.

4 «Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου»

Μετὰ πολλῆς, φησί, τῆς σπουδῆς διαπράττου τὰ τοῦ Δεσπότου εὐφροσύνην καὶ τρυφὴν τιθέμενος τῶν ἐντολῶν αὐτοῦ τὴν ἐκπλήρωσιν, καὶ λήψῃ μισθὸν τὸν ἴσον. «Τὰ αἰτήματα τῆς καρδίας σου»[1]· τὰ βουλεύματα, φησίν, τὰ αὐτοῦ πληρῶν μετὰ πολλῆς τῆς εὐφροσύνης λήψῃ καὶ αὐτὸς παρὰ τοῦ Θεοῦ τῶν σῶν βουλευμάτων τὴν ἀπόλαυσιν.

5 «Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει»

Ἐὰν δέ, φησί, καὶ ἐν συμφοραῖς ἐξετασθῇς, αὐτῷ γνώρισον πᾶσάν σου τὴν πρᾶξιν[2], αὐτῷ ἀνάθου πάντα τὰ κατά σε καὶ παρ' αὐτοῦ ἔκδεξαι τὴν ἀντίληψιν καὶ τεύξῃ πάντως.

6 «Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου»

209 Καὶ παρέξει σοί, φησί, τὴν βοήθειαν. Δικαιοσύνην δὲ εἶπεν ἀντὶ τοῦ δικαίως· ἀρετῆς γὰρ ἐπιμελομένοις δῆλον ὅτι δικαίως παρέξει τὴν βοήθειαν. Τὸ δέ «ἐξοίσει» ὡς ἐπὶ κριτοῦ ἔνδοθέν ποθεν ἐξάγοντος τὴν ἀπόφασιν. «Ὡς φῶς» δὲ εἶπεν ἀντὶ τοῦ προφανῶς σοι βοηθήσει, ὥστε πᾶσι καταφανῆ γενέσθαι τὴν εἴς σε τοῦ Θεοῦ βοήθειαν.

«Καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν»

Ἀκολούθως τῷ ἄνω ἐπήγαγε, «καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν»[3], τουτέστιν οὐδὲν ἀνεξετάστως ἐάσει τῶν κατά σε, ἀλλὰ κρίνας καὶ δικάσας μετὰ τοῦ δικαίου παρέξει σοι τὴν βοήθειαν. Τὸ δέ «ὡς μεσημβρίαν» εἶπε, τὴν ἐπίτασιν τῆς φανερώσεως σημαί-

---

1. Ψαλ. 36,4. **2.** Πρβλ. Ψαλ. 36,5. **3.** Ψαλ. 36,6.

νων, ἐπειδὴ μάλιστα ἐν ἐκείνῳ τῷ καιρῷ ἐπιτεταμένον τοῦ ἡλίου τὸ φῶς δείκνυται τοῖς ἀνθρώποις. Τὴν δέ «δικαιοσύνην» εἶπε καί «τὸ κρίμα», τοῦτο βουλόμενος εἰπεῖν ὅτι ἀναγκαίως σοι παρέξει τὴν βοήθειαν, δικαίως ἐπαμύνων ἂν οὕτως ἔχῃ τὰ κατὰ σε, ὡς ἄξιόν σε εἶναι τῆς βοηθείας τῆς παρὰ τοῦ Θεοῦ, — ὥστε, φησί, ταῦτα διαπραττόμενος κἂν ἐν συμφοραῖς ᾖς, μὴ ἀμφίβαλε περὶ τῆς τοῦ Θεοῦ σωτηρίας.

7 «Ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν»

Αὐτῷ, φησίν, ὑποτετάχθαι[1] σπούδαζε, τὰ αὐτοῦ προστάγματα πληροῦν καὶ παρ' αὐτοῦ αἰτεῖν τῶν ἀγαθῶν τὴν μετάληψιν, μὴ ἀπὸ πονηρίας ταύτην ἐκζητῶν.

«Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ζωῇ αὐτοῦ, ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίας»

Εἰ καί τινα, φησίν, ὁρᾷς τὰ μὲν φαῦλα διαπράττεσθαι ἐσπουδακότα, κατευοδούμενον δὲ ἐν τῇ οἰκείᾳ προθέσει καὶ ἅπαντα ῥαδίως ἄγειν εἰς πέρας δυνάμενον ὅσαπερ ἄτοπα διαπράττεσθαι ἐσπούδακε, μὴ τοῦτον θαύμαζε καὶ μακαριστὸν νόμιζε ὡς οὐδεμίαν τιμωρίαν ἐφ' οἷς διαπράττεται ἀτόποις ὑπομένοντα.

8 «Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν»

Ἐπειδὴ εἶπε «μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ», «ἐν ἀνθρώπω ποιοῦντι παρανομίαν», ἐπήγαγε τό **210** «Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατέλιπε θυμόν»,[2] τουτέστι μηδὲ ὀργίζου ὅτι μὴ δίδωσι δίκας ἐφ' οἷς διαπράττεται ἀτόποις· οἱ γὰρ πολλοὶ οὐ μακαρίζουσι μόνον τοὺς πονηροὺς ἐν εὐθηνίᾳ καθεστῶτας, ἀλλὰ καὶ δάκνονται τὸ πλέον ὅτι μὴ διδόασι δίκας ἐφ' οἷς διαπράττονται.

«Μὴ παραζήλου ὥστε πονηρεύεσθαι»

Μηδὲ μακαρίζων ἐκεῖνον ὡς δυνατὸν καὶ ὅσα βούλεται διαπραττόμενον, καὶ ἀποβλέψας ὅτι μηδὲν πάσχει δεινὸν ἐγχειρῆσαί ποτε καὶ αὐτὸς τί πρᾶξαι τῶν ἀτόπων βουληθῇς.

---

1. Πρβλ. Ψαλ. 36,7. **2.** Ψαλ. 36,8.

9 «Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται»

Οἱ γὰρ τὰ πονηρὰ διαπραττόμενοι δώσουσί ποτε δίκας πάντως καὶ ἀπολοῦνται.

«Οἱ δὲ ὑπομένοντες τὸν Κύριον αὐτοὶ κληρονομήσουσιν τὴν γῆν»

Οἱ μέντοι, φησίν, ἐπὶ τὸν Θεὸν πεποιθότες, οὗτοι βεβαίαν ἕξουσιν ἐπὶ τῆς γῆς τὴν οἴκησιν, τουτέστιν οὐκ ἀπαναστήσουσιν αὐτοὺς τῆς οἰκείας γῆς πολέμιοι. Τὸ γάρ «κληρονομήσουσιν»[1] ἀντὶ τοῦ βεβαίαν ἕξουσιν εἶπεν, ἀπὸ τοῦ τοῖς κληρονομοῦσι βεβαίαν ἐγγίνεσθαι τῶν κληρονομουμένων τὴν δεσποτείαν.

10 «Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξῃ ἁμαρτωλός»

Ὁ δὲ κακὸς καὶ εἰ εὐθηνεῖται, φησίν, ἀλλὰ βραχύ τι ἀνάμεινον καὶ ὄψει πάντως αὐτοῦ τὴν ἀπώλειαν.[2]

«Καὶ ζητήσεις τὸν τόπον αὐτοῦ καὶ οὐ μὴ εὕρῃς»

Εὑρήσεις γὰρ μετὰ τοῦ θανάτου καὶ τὸ μνημόσυνον αὐτοῦ πᾶν ἐξαλειφόμενον.

11 «Οἱ δὲ πραεῖς κληρονομήσουσιν γῆν»

Τοὺς δὲ ἐν πραότητι[3] καὶ χρηστότητι διάγοντας, τούτους ὄψει βεβαίαν κεκτημένους τὴν ἐπὶ γῆς οἴκησιν.

«Καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης»

Καὶ ἀπολαύσουσι πλουσίως τῶν ἀγαθῶν μετὰ πολλῆς τῆς εἰρήνης, οὐδενὸς αὐτοῖς διακόπτοντος τὴν ἀπόλαυσιν τῆς εὐθηνίας. Καλῶς δὲ εἶπε τό «κατατρυφήσουσιν»· ἐπειδὴ **211** γὰρ ἄνω συμβουλεύων εἶπε «Κατατρύφησον τοῦ Κυρίου», καὶ ἐπὶ τῆς ἀπολαύσεως καὶ τοῦ μισθοῦ τῆς ἀρετῆς «κατατρυφήσουσιν» εἶπεν, ἀντίρροπον τῇ ὑπακοῇ τὸν μισθὸν ὁριζόμενος.

12 «Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον»

Ἀλλά μηδὲ τοῦτό σε, φησί, ταραττέτω εἰ τὸν ἄδικον ὁρᾷς ἐπιβουλεύοντα τῷ δικαίῳ.

---

1. Ψαλ. 36,9. **2.** Πρβλ. Ψαλ. 36,10. **3.** Πρβλ. Ψαλ. 36,11. Ματθ. 5,5.

«Καὶ βρύξει ἐπ' αὐτὸν τοὺς ὀδόντας αὐτοῦ»

Καὶ κἂν τοσοῦτον ὀργίζηται κατ' αὐτοῦ ὥστε τῇ ὑπερβολῇ τοῦ θυμοῦ βρύξαι κατ' αὐτοῦ τοὺς ὀδόντας[1] διαπριόμενος, μηδὲ ἐπὶ τούτῳ δυσχέραινε.

13 «Ὁ δὲ Κύριος ἐκγελάσεται αὐτόν»

Τὴν γὰρ ὀργὴν αὐτοῦ, φησί, τὴν τοιαύτην ὁ Θεός ὡς περιττὴν καὶ ματαίαν ἐξουδενώσει[2].

«Ὅτι προβλέψει ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ»

Οἶδε γὰρ τὸ τέλος, ὅπερ ὑποστὰς ἀνόνητον δείξει καὶ ματαίαν τὴν κατὰ τοῦ δικαίου ὀργήν. Κατὰ ταύτην γοῦν τὴν ἀκολουθίαν ἑρμηνεύει καὶ Σύμμαχος τὰ ῥήματα, ὡς δῆλον εἶναι ὅτι ἀπὸ τῆς ἑρμηνείας ἡ τῶν χρόνων ἐναλλαγὴ γεγένηται, τῷ μέλλοντι ἀντὶ τοῦ ἐνεστῶτος χρησαμένων διόλου τῶν ἑρμηνευτῶν.

Σύμμαχος οὕτω, φησίν, 'ἐννοεῖ ὁ ἀσεβὴς περὶ τοῦ δικαίου καὶ πρίει κατ' αὐτοῦ τοὺς ὀδόντας αὐτοῦ. Κύριος καταγελάσει αὐτοῦ προβλέπων ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ'.

14 «Ρομφαίαν ἐσπάσαντο οἱ ἁμαρτωλοί, ἐνέτειναν τόξον αὐτῶν τοῦ καταβαλεῖν πτωχὸν καὶ πένητα, τοῦ σφάξαι τοὺς εὐθεῖς τῇ καρδίᾳ»

Εἰ καὶ μάχαιραν, φησίν, ἀπὸ τῆς ὑπερβαλλούσης ὀργῆς μεταχειρίζονται οἱ ἁμαρτωλοί [«ἐνέτειναν τόξον»[3]] καὶ τὰ τόξα ἐντείνουσι τὰ ἴδια, — ἵνα εἴπῃ ὅτι ἐὰν δὲ **212** καὶ ἐπιβουλεύοντες πλησίον γένωνται τοῦ ἀνελεῖν —, ὥστε ἀνελεῖν τοὺς δικαίους διὰ τὴν ἀσθένειαν τὴν σωματικὴν καὶ τὸ εὐτελὲς καταφρονοῦντες αὐτῶν (τοῦτο γὰρ λέγει «πτωχὸν καὶ πένητα») μηδὲ τότε, φησί, φοβηθῇς. Διὰ τί;

15 «Ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς τὴν καρδίαν αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείησαν»

Οὐχ ἐπαρώμενος λέγει ἀλλ' ἐξηγούμενος, ἀντὶ τοῦ ταῦτα γὰρ τὰ κακὰ ἃ μηχανῶνται κατὰ τῶν δικαίων εἰς αὐτοὺς περιτραπήσεται ὑπὸ τοῦ Θεοῦ.

---

1. Πρβλ. Ψαλ. 36,12. **2.** Πρβλ. Ψαλ. 36,13. **3.** Ψαλ. 36,14.

Ἡ δὲ ἐναλλαγὴ τῶν χρόνων ἀπὸ τῆς ἑρμηνείας, καθὼς πολλαχοῦ ἡμῖν ἐπισεσήμανται. Οὕτω γὰρ λέγει καὶ Σύμμαχος· 'ρομφαίαν σπῶσιν οἱ ἁμαρτωλοί, καὶ τείνουσι τόξον αὐτῶν καταβαλεῖν πτωχὸν καὶ πένητα, μαγειρεῦσαι ἁπλοῦς τῇ ὁδῷ· ἡ μάχαιρα αὐτῶν εἰσελεύσεται εἰς καρδίαν αὐτῶν καὶ τὰ τόξα αὐτῶν συντριβήσεται'[1].

Διόλου γὰρ τοῦτο βούλεται εἰπεῖν· μὴ θαύμαζε, μηδὲ μακάριζε τοὺς τὰ ἄτοπα ποιοῦντας καὶ εὐθηνουμένους, μηδὲ δάκνου ἐπ' αὐτοῖς ὅτι μὴ δίκας διδόασιν ὑπὲρ ὧν διαπράττονται· ἐκεῖνοι γὰρ ἀπολοῦνται καὶ ἀφανισθήσεται αὐτῶν τὸ μνημόσυνον. Οἱ δὲ δικαιοσύνης ἐπιμελόμενοι μετὰ πολλῆς τῆς εἰρήνης ἀπολαύσουσι τῶν ἐκ τῆς γῆς ἀγαθῶν. Εἰ δὲ καὶ ἐπιβουλεύειν ὁ ἁμαρτωλὸς πειρᾶται τῷ δικαίῳ καὶ τοῦτο παντὶ τρόπῳ ποιεῖν ἐσπούδακε, μηδὲ τότε δάκνου ὡς ἀτιμωρήτου διαμένοντος αὐτοῦ· διαπτύει γὰρ αὐτοῦ τὴν ἐπιβουλὴν ὁ Θεός, εἰδὼς ὅτι ποτὲ ὑπομενεῖ καὶ ὅτι τῆς κατὰ τοῦ δικαίου ἐπιβουλῆς καὶ αὐτὸς δέξεται τὴν βλάβην.

16 «Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν»

Τούτων τοίνυν, φησίν, οὕτως ἐχόντων, αἱρετωτέρα ἐστὶν ἡ λογικὴ κτῆσις τοῦ δικαίου παντὸς τοῦ πλούτου τῶν ἁμαρτωλῶν[2], κἂν πολὺς ᾖ.

17 «Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται, ὑποστηρίζει δὲ τοὺς δικαίους Κύριος»

Διὰ τοῦτο, φησίν, αἱρετώτερον τοῦ δικαίου τὸ ὀλίγον ὑπὲρ τὸν **213** πλοῦτον τῶν ἀδίκων, ὅτι ἐκείνων μὲν τῆς δυναστείας ἀφανισθείσης εἰς τὸ παντελὲς ὁ πλοῦτος αὐτῶν διαῤῥεῖ καὶ ἀπόλλυται, τῶν δὲ δικαίων[3] καὶ τὸ ὀλίγον ἀνορθοῦται καὶ βεβαιοῦται ὑπὸ τοῦ Θεοῦ καὶ τὴν προσθήκην λαμβάνει.

18 «Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων»

Οἶδε γάρ, φησίν, ὁ Θεὸς τῶν δικαίων τὰς πράξεις καὶ οὐ λέληθεν αὐτῷ ἡ δικαιοσύνη τῶν ἀρετῶν, ὥστε παραλιπεῖν τὰ εἰς αὐτοὺς γενέσθαι ὀφείλοντα, παρ' αὐτοῦ.

---

1. Πρβλ. Ψαλ. 36,15. **2.** Πρβλ. Ψαλ. 36,16. **3.** Πρβλ. Ψαλ. 36,17.

«Καὶ ἡ κληρονομία αὐτῶν εἰς τὸν αἰῶνα ἔσται»

Καὶ τὸ βέβαιον τῆς ἀπολαύσεως διὰ παντὸς ἕξουσι παρὰ τοῦ Θεοῦ εἰδότος μὲν τὰ κατ' αὐτούς[1], βεβαιοῦντος δὲ αὐτοῖς τῆς ἀρετῆς τὴν ἀντιμισθίαν ἐν τῇ τῶν ἀγαθῶν ἀπολαύσει.

19 «Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ»

Εἰ δὲ καὶ ποτέ, φησίν, ἐν συμφοραῖς ἐξετασθεῖεν, οὐκ εἰς τὸ παντελὲς ἐγκαταλειφθήσονται ὑπὸ τοῦ Θεοῦ, ὥστε αἰσχυνθῆναι ἐπὶ τῇ εἰς αὐτὸν ἐλπίδι.

«Καὶ ἐν ἡμέραις λιμοῦ χορτασθήσονται»

Λιμὸν[2] ἐνταῦθα καλεῖ τῶν ἀγαθῶν τὴν ἔνδειαν. Κἂν γὰρ ἐν τοιούτοις ἐξετασθῶσι, φησί, καιροῖς, ἡνίκα πολλὴ μὲν ἡ θλίψις αὐτοῖς περιγίνεται, ἔνδεια δὲ ἔχει αὐτοὺς παντὸς ἀγαθοῦ, καὶ τότε πλουσίαν ἕξουσι τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν παρὰ τοῦ Θεοῦ ὡς εἰς κόρον αὐτοὺς ἁπάντων λαβεῖν τὴν μετουσίαν.

20 «Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται»

Τὴν γὰρ παντελῆ, φησίν, ἀπώλειαν ἔθος ὑπομένειν τοῖς ἁμαρτωλοῖς.

«Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον»

Καὶ τοῖς ἐχθροῖς τοῦ Θεοῦ τοῦτο προσγίνεται τὸ ὅταν ἐν πολλῇ τινι δόξῃ καὶ τιμῇ ἐξετασθῶσι δίκην καπνοῦ[3] ἐκλιμπάνειν, διαλυομένης αὐτοῖς τῆς εὐθηνίας· οὕτω λέγει καὶ Σύμμαχος 'φαῦλοι ἀπολοῦνται'.

21 «Δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτείσει»

214 Ὁ μὲν οὖν ἁμαρτωλός, φησίν, ἐν τοιαύταις ἐξετάζεται συμφοραῖς, ὥστε καὶ χρῄζειν τῶν δανειζόντων καὶ δανειζόμενος μὴ δύνασθαι ἀποδιδόναι.

---

1. Πρβλ. Ψαλ. 36,18. **2.** Πρβλ. Ψαλ. 36,19. **3.** Πρβλ. Ψαλ. 36,20.

«Ὁ δὲ δίκαιος οἰκτίρει καὶ διδοῖ»

Ὁ δὲ δίκαιος ἐκ πολλῆς τῆς περιουσίας καὶ ἑτέροις δωρεῖται[1].

22 «Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται»

«Οἱ εὐλογοῦντες αὐτόν» καί «οἱ καταρώμενοι», τουτέστι τὸν Θεόν. Ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω «οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου ἅμα τῷ δοξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον»[2], εἶτα ἐπήγαγε «δανείζεται ὁ ἁμαρτωλὸς καὶ οὐκ ἀποτείσει, ὁ δὲ δίκαιος οἰκτίρει καὶ διδοῖ»[3], πρὸς ἐκεῖνα ἀπέδωκε τό «ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται»[4]. Ταῦτα, φησίν, ἔσται ἐπειδὴ οἱ μὲν τὸν Θεὸν εὐλογοῦντες ἀπολαύουσι τῶν παρ' αὐτοῦ ἀγαθῶν, οἱ δὲ γε τὰς εἰς αὐτὸν τείνοντες βλασφημίας παντελῆ ὑπομένουσιν ἀπώλειαν. Σύμμαχος οὕτως λέγει, 'ὅτι οἱ εὐλογημένοι ὑπ' αὐτοῦ κληρονομήσουσι γῆν, οἱ δὲ καταρώμενοι ὑπ' αὐτοῦ ἐκκοπήσονται'. Καὶ Ἀκύλας καὶ Θεοδοτίων οὕτω λέγουσιν, 'ὅτι οἱ ηὐλογημένοι αὐτοῦ κληρονομήσουσι γῆν'. Εἴτε δὲ οὕτως, εἴτε δὲ ἐκείνως, φανερὰ ἡ διάνοια· δῆλον μέντοι ὅτι τὸ αὐτὸ περὶ τοῦ Θεοῦ λέγει οὐχ, ὥς τινες ᾠήθησαν, περὶ τοῦ δικαίου.

23 «Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται»

Διὰ τοῦτο δέ, φησίν, οἱ μὲν εὐλογοῦντες καθέξουσι βεβαίως τὰ ἀγαθά, οἱ δὲ γε βλασφη**215**μοῦντες τὸ ἐναντίον ἐκκοπήσονται, ἐπειδὴ ἐν τῷ Θεῷ ἐστιν οὗπερ ἂν ἐθέλῃ κατευθῦναι τὰ διαβήματα[5], τουτέστι τὴν πρόθεσιν αὐτοῦ καὶ τὰς ἐνθυμήσεις καὶ τοὺς λογισμοὺς εἰς τὸ πέρας ἀγαγεῖν.

«Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει»

Τῷ ἄνω ἐπισυνῆπται, ἀντὶ τοῦ τοιούτου δὲ ἀνθρώπου κατευθύνει τὰ διαβήματα, οὗπερ ἂν σφόδρα ἀρεσθῇ τῇ βουλῇ καὶ τῇ πράξει· ἐὰν γὰρ ἴδῃ, φησί, τὰ κάλλιστα προῃρημένον καὶ ἀρεσθῇ αὐτῷ τῷ βίῳ καὶ τῇ προθέσει, ἅπαντα αὐτῷ κατευθύνει, καὶ περαιοῖ τὰ σπουδαζόμενα διὰ τῆς οἰκείας βοηθείας.

---

1. Πρβλ. Ψαλ. 36,21. **2.** Ψαλ. 36,20. **3.** Ψαλ. 36,21. **4.** Ψαλ. 36,22. **5.** Πρβλ. Ψαλ. 36,23.

24 «Ὅταν πέσῃ, οὐ καταραχθήσεται»

Κἄν περιπτώματι δέ τινι, φησίν, ὁ τοιοῦτος περιπέσῃ ποτέ, ἀλλ' οὐκ εἰς τὸ παντελὲς δέξεται τὴν πτῶσιν.

«Ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ»

Ὁ γάρ Θεός, φησίν, ἀνίστησιν αὐτὸν καὶ ἀπαλλάτει τῶν προσπιπτόντων λυπηρῶν. Τὸ δέ «ἀντιστηρίζει χεῖρα αὐτοῦ»[1] ἀκολούθως τῷ «ὅταν πέσῃ οὐ καταραχθήσεται», ἐπείπερ οἱ πίπτοντες δέονται τοῦ τὴν χεῖρα ἐρείδειν πρὸς τὸ ἔδαφος πρὸς τὸ μὴ παντελῶς καταπεσεῖν.

25 «Νεώτερος ἐγενόμην, καὶ γὰρ ἐγήρασα»

Τὸ γὰρ περισσὸν ὅσον πρὸς τὴν διάνοιαν· οὕτω γὰρ λέγει καὶ Σύμμαχος, 'νέος ἐγενόμην καὶ γὰρ ἐγήρασα'.

«Καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον»

Καὶ νέος, φησίν, ἐγενόμην καὶ εἰς γῆρας ἤλασα λοιπόν, καὶ ἐν τοσούτῳ χρόνῳ οὔτε δίκαιον ἐθεασάμην ἐναφεθέντα τοῖς κακοῖς ὑπὸ τοῦ Θεοῦ, οὔτε τοὺς τούτου ἐκγόνους ἐν θλίψεσιν ἐξετασθέντας.

25-26 «Οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους· ὅλην τὴν ἡμέραν ἐλεᾷ καὶ δανείζει, καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται»

Τὸ δὲ ἐναντίον, φησίν, ὁρῶ ὅτι οἱ δίκαιοι καὶ ἑτέροις χαρίζονται, καὶ τὸ σπέρμα καὶ τοὺς ἐγγόνους αὐτοῦ παρὰ πᾶσι μακαριζομένους[2] ἐφ' οἷς ἐδέξαντο παρὰ τοῦ πατρὸς ἀγαθοῖς.

27 «Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν»

216 Οὐκοῦν, φησί, τούτων οὕτως ἐχόντων, ἀπόστηθι μὲν τῆς τῶν ἀτόπων πράξεως, ἐπιμελοῦ δὲ τῶν εὐαρέστων Θεῷ.

«Καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος»

Πάλιν ἐνταῦθα τό «κατασκήνου»[3] οὐχ ὡς παραίνεσιν λέγει, ἀλλ' ἀντὶ τοῦ κατασκηνώσεις. Οὕτω γοῦν λέγει καὶ ὁ Σύμμαχος·

---

1. Ψαλ. 36,24. **2.** Πρβλ. Ψαλ. 36,26. **3.** Ψαλ. 36,27.

'καὶ ἠρεμήσεις εἰς αἰῶνα αἰῶνος', ἀντὶ τοῦ ἐν ἡσυχίᾳ διατελέσεις τῇ ἀπὸ τῶν κακῶν.

28 «Ὅτι Κύριος ἀγαπᾷ κρίσιν καὶ οὐκ ἐγκαταλείψει τοὺς ὁσίους αὐτοῦ, εἰς τὸν αἰῶνα φυλαχθήσονται»

Τὴν δικαιοκρισίαν φησίν. Ἐπιμελεῖται γάρ, φησί, τοῦ δικαίου ὁ Θεός· τοῦτο γὰρ λέγει, τό «ἀγαπᾷ», τὸ ἐπιμελεῖται, ἐπείπερ εἰώθαμεν ἐπιμελεῖσθαι πάντως ὅν ἀγαπῶμεν, ὡς καὶ ἐν τῷ λβ' τό «ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος»[1]. Ἐπιμελόμενος δέ, φησί, τοῦ δικαίου οὐ καταλείψει τῆς αὐτοῦ βοηθείας τοὺς δικαίους ἐρήμους, ὅτι «εἰς τὸν αἰῶνα φυλαχθήσονται»[2]. Διατηρήσεις δὲ αὐτούς, φησίν, εἰς τὸ παντελές.

«Ἄνομοι δὲ ἐκδιωχθήσονται, καὶ σπέρμα ἀσεβῶν ἐξολοθρευθήσεται»

Καὶ οἱ μὲν ἄνομοι, φησίν, ἐν διωγμοῖς καὶ κακοῖς διατελέσουσι καὶ τὸ σπέρμα τῶν τοιούτων ἀφανισθήσεται.

29 «Δίκαιοι δὲ κληρονομήσουσι γῆν καὶ κατασκηνώσουσιν εἰς αἰῶνα αἰῶνος ἐπ' αὐτῆς»

Οἱ δὲ δίκαιοι, φησί, βεβαίως ἔσονται ἐπὶ τῆς γῆς καὶ διηνεκῶς μενοῦσιν ἐπ' αὐτῆς.[3] Ἐπὶ δὲ τῆς γῆς, φησίν, τῆς ἐπαγγελίας, ὡς πρὸς Ἰουδαίους διαλεγόμενος, ἐπειδὴ τοῦτο ἀντί εὐεργεσίας ὁ Θεὸς τοῖς Ἰουδαίοις ἐπηγγείλατο καὶ πάλιν ἀντὶ τιμωρίας ἠπείλει τὴν ἐκεῖθεν μετάστασιν.

30 «Στόμα δικαίου μελετήσει σοφίαν»

Ὁ δὲ δίκαιος, φησί, «μελετήσει» πᾶν εἴ τι σοφόν[4]· σοφὸν δὲ καλεῖ τὸ τῷ Θεῷ εὐάρεστον.

«Καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν»

217 Καί φθέγξεται πᾶν εἴ τι δίκαιον.

---

1. Ψαλ. 32,5. **2.** Ψαλ. 36,28. **3.** Πρβλ. Ψαλ. 36,29. **4.** Πρβλ. Ψαλ. 36,30.

31 «Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ»

Ταῦτα δέ, φησί, μελετήσει καὶ φθέγξεται ἐπὶ τῆς διανοίας, ἔχων τὴν περὶ τὸν νόμον τοῦ Θεοῦ διάθεσιν.[1]

«Καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ»

Διὰ τοῦτο οὐδὲ περιτραπήσεται ἀπὸ τῶν προσπιπτόντων αὐτῷ λυπηρῶν.

32 «Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν»

Πάλιν ἀκολούθως τῷ ἀνωτέρω. Εἰ δὲ καὶ ὁ φαῦλος, φησί, καὶ πονηρὸς ἀποβλέπει πρὸς αὐτὸν ἀνελεῖν αὐτὸν[2] ἐσπουδακότες, — «ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ»[3] διόλου τὸ ἀνώτερον δευτεροῖ —, ἀλλ' οὐ συγχωρήσει, φησίν, αὐτὸν ὁ Θεὸς ὑπὸ τὴν ἐκείνου πεσεῖν ἐξουσίαν.

33 «Οὐδὲ μὴ καταδικάσηται αὐτόν, ὅταν κρίνηται αὐτῷ»

Τουτέστιν ὅταν αὐτὸς ἐξετάζηται. Ὡς πολλάκις καὶ παρ' ἡμῖν λέγειν εἰώθασί τινες ἀπῆλθεν αὐτὸς ἀντὶ τοῦ ἀπῆλθεν οὗτος, καὶ τό «ὅταν κρίνηται αὐτῷ» ἀντὶ τοῦ ὅταν κρίνηται, ἵνα εἴπῃ· καὶ οὐ καταδικάσει αὐτὸν ἐν τῷ κρίνεσθαι αὐτῷ. Οὕτω καὶ Σύμμαχος 'οὐδὲ καταδικάσει κρινόμενον αὐτόν'.

Τὸ οὖν οὐδέ «μὴ καταδικάσηται», ἀντὶ τοῦ ὁ Θεός. Τὸ δὲ ὅλον ἀκολούθως τέθεικε τῷ ἀνωτέρω, τῷ ὁ δέ «Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας». Βούλεται γὰρ εἰπεῖν ὅτι ὁ Κύριος οὐκ ἐναφήσει αὐτὸν εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν· εἰ δὲ καὶ ὑποπέσοι τῷ ἁμαρτωλῷ ὁ δίκαιός ποτε ὡς καὶ ὑπὸ τὴν κρίσιν αὐτοῦ πεσεῖν καὶ τὴν ἐξέτασιν, ἀλλ' ὁ Θεὸς οὐ καταψηφιεῖται αὐτοῦ, τουτέστιν οὐκ ἐάσει αὐτὸν εἰς τὸ παντελὲς ὑπὸ τὴν ἐκείνου πεσεῖν ἀπόφασιν, — ἵνα εἴπῃ ὅτι καὶ κρινόμενον αὐτὸν ὑπ' αὐτῶν ἀπαλλάξει παραδόξως τῆς ἐκείνων ἀποφάσεως.

34 «Ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ»

Οὐκοῦν ἐπειδὴ τοὺς δικαίους, κἂν ὑποχείριοι γένωνται τοῖς

---

1. Πρβλ. Ψαλ. 36,31. **2.** Πρβλ. Ψαλ. 36,32. **3.** Ψαλ. 36,33.

ἁμαρτωλοῖς, οὐκ ἐᾷ ὁ Θεὸς **218** εἰς τὸ παντελὲς τῇ ἐκείνων ἀποφάσει ὑποπεσεῖν, μὴ ἀθύμει κἂν ποτε ἐν συμφορᾷ περιπέσῃς, ἀλλ' ἐκδέχου τοῦ Θεοῦ τὴν βοήθειαν, φυλάττων αὐτοῦ τὰ βουλεύματα καὶ τὰ προστάγματα, καὶ τῆς εὐαρεστήσεως ἐπιμελόμενος, καὶ μὴ διὰ τὰ περιέχοντα λυπηρὰ ἀφιστάμενος τῆς ἀρετῆς.

«Καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι τὴν γῆν»

Ταῦτα γὰρ ποιοῦντα, κἂν ᾖς ὑποχείριος τῷ ἁμαρτωλῷ, σκεπάσει καὶ ὑψηλότερον ἀποφανῇ, παρέχων σοι βεβαίαν τὴν ἐν τῇ γῇ οἴκησιν[1].

«Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψῃ»

Καὶ οὐ μόνον, φησίν, ἀπαλλαγήσῃ τῆς ἐκείνων ἐπιβουλῆς, ἀλλὰ γὰρ καὶ ἀπολλυμένους αὐτοὺς θεάσῃ. Καὶ πόθεν τοῦτό φησιν;

35 «Εἶδον ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου»

Ταῦτα, φησί, λέγω ἐξ' ὧν τὴν πεῖραν παρέλαβον· ἐθεασάμην γὰρ πολλοὺς κατὰ τὴν εὐπραγίαν μεγαλυνθέντας καὶ ἐπαρθέντας μέγα[2].

36 «Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν»

Καὶ βραχύ τι διαγεγονὼς οὐδὲ λείψανον αὐτοῦ τῆς μεγαλωσύνης περιλειφθὲν ἐθεασάμην· τοῦτο γάρ ἐστι τό «καὶ ἰδοὺ οὐκ ἦν»[3] ὡς ἐπὶ δένδρου εἰρηκώς, ἐπειδὴ καὶ κέδρῳ παρέβαλεν αὐτοῦ τὸ μέγεθος εἰρηκώς «καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου»[4]. Τοῦτο οὖν ἠβουλήθη εἰπεῖν ὅτι ἐξεσπάσθη ἐκ ῥιζῶν ὡς μηδὲν τοῦ μεγέθους αὐτοῦ περιλειφθῆναι μνημόσυνον.

Ψαλμὸς 37

Ἔστι μὲν ὁ λζ' ψαλμὸς ἐξομολόγησις τοῦ μακαρίου Δαβὶδ τῆς κατὰ τὴν Βερσαβεὲ ἁμαρτίας ἕνεκεν. Τινὲς δὲ ἠβουλήθησαν μη-

---

1. Πρβλ. Ψαλ. 36,34. **2.** Πρβλ. Ψαλ. 36,35. **3.** Ψαλ. 36,36. **4.** Ψαλ. 36,35.

δένα δεῖν ἐκλαμβάνεσθαι τῶν ψαλμῶν κατὰ ταύτην **219** τὴν ὑπόθεσιν, ἀτοπώτατον εἶναι φήσαντες τὸ τοῖς ψαλμοῖς ἐγκεῖσθαι τοῦ μακαρίου Δαβὶδ τὴν ἐξαγόρευσιν, ἀλλ' ἐμοί γε δοκοῦσιν οἱ τοιοῦτοι πάντη τῆς ἐκθέσεως τῶν θείων Γραφῶν τὴν δύναμιν ἀγνοεῖν, καὶ μάλιστα τῶν Ψαλμῶν.

Εἰ γὰρ ἠπίσταντο ὡς δι' οὐδὲν ἕτερον ἐγγράφως τοὺς ψαλμοὺς τοῦ μακαρίου Δαβὶδ παρειλήφαμεν ἀλλ' ἢ ὥστε παιδεύεσθαι τὸ ἦθος παρ' αὐτῶν, ἐπέγνωσαν ἂν ὅτι πρὸ τῶν ἄλλων ἁπάντων τούτους ἔδει κεῖσθαι τοὺς ψαλμοὺς τοὺς ἐξαγορευτικούς, ἐπείπερ οὐχὶ ἔλαττον πάντες ἄνθρωποι δεόμεθα παιδεύεσθαι τὴν ἐξομολόγησιν τὴν τῶν ἠθῶν παραίνεσιν.

Ἐν μὲν γὰρ τοῖς ἤθεσιν εὑρήσει τις πολλάκις καὶ πρῶτον καὶ δεύτερον πολλοῖς τῶν ἀνθρώπων κατορθωθέν, ἁμαρτίας δὲ οὐχ οἷόν τε οὕτω καθαρεῦσαι εἰς τὸ παντελὲς ὡς πάντη μὴ δεῖσθαι ἐξομολογήσεως.

Καιρὸς δὲ ἤδη τοὺς τοιούτους καὶ ἐκ τῆς βίβλου τοῦ μακαρίου Ἡσαΐου τοῦ προφήτου περιελεῖν «Οἴμοι τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ»[1]. Εἰ δὲ τῶν Προφητῶν, πολλῷ μᾶλλον τῶν Ἀποστόλων περιελεῖν προσήκει τὰς τοιαύτας φωνάς, ἐν αἷς ἁμαρτωλοὺς ἑαυτοὺς καλεῖν οὐ παραιτοῦνται. **220** Ὥστε ἀναγκαιότατα μὲν καὶ τούτους κειμένους εὑρήσομεν τοὺς ψαλμούς, τοῖς δὲ εὖ φρονοῦσι τῶν δικαίων καὶ Θεῷ ἀνακειμένων ἀνθρώπων καὶ αἱ κοιναὶ λέξεις πλείστην δύνανται φέρειν τὴν ὠφέλειαν ἔγγραφοι φερόμεναι.

Ἡμεῖς μέντοι οὐδὲ πρὸ τῆς ἀφέσεώς φαμεν τῆς ἁμαρτίας ταῦτα εἰρῆσθαι παρὰ τοῦ μακαρίου Δαβίδ, ὥστ' ἂν οἴεσθαί τινα οὐκ ἀξίους τῆς τοιαύτης ἐκθέσεως εἶναι τοὺς τοιούτους ψαλμούς, ὡς οὐ πνευματικῆς καταξιουμένου χάριτος καθ' ὃν ταῦτα ἐφθέγγετο καιρόν, ἐπειδὴ τῆς μὲν ἀφέσεως ἔτυχεν οὐ μετὰ πολύ. Εὐθὺς γὰρ ἀποσταλέντος πρὸς αὐτὸν τοῦ Νάθαν καὶ ἐλέγξαντος ἐπὶ τῇ ἁμαρτίᾳ[2] καὶ μετὰ τὴν τῆς πλημμελείας ὁμολογίαν ἀποφηναμέ-

---

1. Ἡσ. 6,5. 2. Πρβλ. Β' Βασ. 12,7-23.

νου περὶ τῆς συγχωρήσεως τῆς ὑπὸ τοῦ Θεοῦ δωρηθείσης αὐτῷ, αὐτὸς ἀνάλογα κἀν τούτῳ τῆς οἰκείας ἀρετῆς διαπραττόμενος οὐ παρελογίσατο τὴν πλημμέλειαν μετὰ τὴν συγχώρησιν, ἀλλὰ γὰρ ἑκάστοτε εἰς ὑπόμνησιν ἐρχόμενος τοῦ πταίσματος τὴν οἰκείαν στενάζων ἐξηγόρευεν ἁμαρτίαν, τὴν μὲν συγχώρησιν τῆς ἁμαρτίας τῇ τοῦ Θεοῦ λογιζόμενος φιλανθρωπίᾳ ἑαυτῷ δὲ προσήκειν ἡγούμενος τὸ πάντοτε ἐξομολογεῖσθαι ὑπὲρ αὐτῆς.

Καὶ τοῦτο διεπράττετο μάλιστα ἡνίκα ταῖς τοῦ Ἀβεσσαλὼμ περεπεπτώκει συμφοραῖς· καὶ δι' αὐτὸ **221** τοῦτο ἐπαχθῆναι συνεχώρησεν ὁ Θεός, παιδεύων αὐτὸν ὑπὲρ τῆς ἁμαρτίας καὶ εἰς τὸ ἑξῆς ἀσφαλέστερον ἐργαζόμενος. Ἡνίκα γοῦν διωκόμενος ὑπὸ τοῦ Ἀβεσσαλώμ[1], καὶ φεύγοντα ὕβριζέ τε ῥήμασι ἐκτόποις ὁ Σεμεεὶ καὶ λίθοις βάλλων διετέλει, εἶτα ἀγανακτήσας ἐπὶ τοῦτο ὁ Ἀβεσσὰ ὁ τοῦ Δαβὶδ στρατηγὸς ἀνελεῖν αὐτὸν ἠβούλετο, ἀγανακτήσας πρὸς τὸν Ἀβεσσὰ ὁ μακάριος Δαβίδ, ἐπιστραφεὶς δὲ πρός τε τὸν Ἰωὰβ καὶ τοὺς λοιποὺς ἅπαντας τοὺς ἑπομένους φησίν· «Ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας μου ζητεῖ τὴν ψυχήν μου, ἔτι καὶ νῦν ὁ υἱὸς τοῦ Ἰεμενεί· ἄφες αὐτὸν καταρᾶσθαι, ὅτι Κύριος εἴρηκεν αὐτῷ ὅπως ἴδῃ τὴν ταπείνωσίν μου, καὶ ἀνταποδώσει μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ»[2].

Καὶ ὅτι τοῦτο ἅπασιν ἔθος τοῖς δικαίοις, μεγίστη ἀπόδειξις ὁ μακάριος ἀπόστολος Παῦλος λέγων· «Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος, διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ»[3], μετὰ τοσούτους πόνους, οὓς ὑπέμεινεν ὑπὲρ Χριστοῦ, οὕτως τὰ πρὸ τῆς κλήσεως ὀδυρόμενος καὶ οὐκ ἄξιον ἑαυτὸν λογιζόμενος τῆς τοῦ Ἀποστόλου προσηγορίας διὰ τὴν τότε τῆς Ἐκκλησίας δίωξιν. Καὶ ἀλλαχοῦ δέ φησιν· «Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν»[4].

---

1. Πρβλ. Β' Βασ. 16,7-10. **2.** Β' Βασ. 16,11-12. **3.** Α' Κορ. 15,9. **4.** Α' Τιμ. 1,15-16.

Ὥστε οὐκ ἀπεικὸς καὶ τὸν μακάριον Δαβὶδ μετὰ τὴν συγχώρησιν τοῦ Θεοῦ ἐξαγορευτικοὺς φθέγξα**222**σθαι Ψαλμούς, ἀλλὰ γὰρ καὶ σφόδρα γε ἁρμόττον αὐτῷ πρὸς τὴν ἑτέρων ὠφέλειαν.

Εἰ γὰρ ὁ μακάριος Δαβὶδ ὀδύρεται ἡμαρτηκὼς[1] καίτοι τετυχηκὼς τῆς παρὰ τοῦ Θεοῦ συγχωρήσεως, βαρὺ τὸ ἁμαρτεῖν αὐτῷ τιθέμενος, πόσῳ μᾶλλον ἅπαντας συγκινεῖσθαι εἰκός, ὅσοιπερ εὖ φρονοῦσιν, εἰς σύντονον ἐξομολόγησιν ὑπὲρ ὧν ἑαυτοῖς συνίσασιν ἡμαρτηκόσιν.

Ταῦτα δὲ ἐπισεσήμανται ἡμῖν καὶ ἐν ἑτέρῳ ψαλμῷ[2]. Οὐκ ἄκαιρον δὲ ἐνομίσαμεν καὶ τῇ δευτερώσει χρήσασθαι νῦν, ὥστε ἅπαντας γνῶναι τοὺς ἐντυγχάνοντας τῷ τοιούτῳ ψαλμῷ τῆς παρενθέσεως τό τε εὔκαιρον καὶ τὸ ἀναγκαῖον· οὕτω γὰρ καὶ μεμαθηκότες τὴν αἰτίαν προσεχέστερον δυνήσονται τῆς ἐξ αὐτῶν ὠφελείας ἀπολαύειν.

3 «Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι»

Σύμμαχος· ‹καθίκοντό μου›. Διὰ δὴ τοῦτο φησὶν ἀξιῶ μὴ μετὰ θυμοῦ γενέσθαι τὸν ἔλεγχον, μηδὲ μετὰ ὀργῆς τὴν παιδείαν, ἐπειδὴ αἱ τιμωρίαι σου ἐμπεπήγασί μοι· «βέλη»[3] γὰρ καλεῖ τὰς τιμωρίας, ἀπὸ τοῦ πλήττειν καὶ θανατοῦν. Καλῶς δὲ εἶπε τό «ἐνεπάγησαν», ἀκολούθως τοῖς ἀνωτέροις, ἐπειδὴ γὰρ τὸ βέλος, μέχρις ἂν ἐμπεπηγὸς ᾖ, ἴασιν οὐ συγχωρεῖ προσαχθῆναι τῷ τραύματι, — τοῦτο λέγει ὅτι αἱ τιμω**223**ρίαι σου ἐναπέμεινάν μοι, λύσιν οὐ λαμβάνουσαι. Οὐ τὸν ἔλεγχον τοίνυν φεύγω οὐδὲ τὴν παιδείαν ἀποστρέφομαι, ἀλλὰ μὴ διηνεκῶς ἐναφανισθῆναι ταῖς συμφοραῖς παρακαλῶ, τοῦτο λοιπὸν θυμοῦ καὶ ὀργῆς εἶναι τιθέμενος.

3-4 «Καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου»

«Χεῖρα» καλεῖ τοῦ Θεοῦ τὴν ἐνέργειαν εἴτε ἐπὶ τιμωρίᾳ, εἴτε ἐπὶ εὐεργεσίᾳ γιγνομένην· ἐνταῦθα τοίνυν τὴν ἐπὶ τιμωρίᾳ γεγενημένην λέγει, — δῆλον γὰρ ἐκ τῆς ἀκολουθίας πάσης τοῦ ψαλμοῦ. «Ἐπεστήριξάς μοι», τοίνυν, φησί, «τὴν χεῖρά σου», τουτέστι

1. Πρβλ. Ψαλ. 50. Β' Βασ. 12,16. **2.** Πρβλ. Ψαλ. 6. **3.** Ψαλ. 37,3.

τὴν τιμωρίαν σου ἐπέθηκάς μοι ἑδραίως — ἀκολούθως «τῷ ἐνεπάγησαν καὶ τὸ ἐπεστήριξας» εἰπών, ἵνα εἴπῃ ὅτι ἐμπεπηγμένοι τὰ κακὰ λύσιν οὐ προσδοκώμενα λαβεῖν. Ἀκολουθεῖ ἑαυτῷ δὲ διόλου. Ἐπειδὴ γὰρ εἶπεν «Ὅτι τὰ βέλη σου ἐνέπαγησάν μοι καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου», πρὸς τό «τὰ βέλη σου ἐνεπάγησάν μοι» ἐπήγαγε τό «οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου»[1]· οὐδὲ γὰρ δυνατὸν ἐμπεπηγμένου τοῦ βέλους τὸν δεξάμενον τὴν πληγὴν ἰάσεως τυχεῖν ποτε. Οὕτως τοίνυν φησὶ τυχεῖν οὐ προσδοκῶ θεραπείας καὶ ἀπαλλαγῆς τῶν κακῶν, λύσιν οὐδεμίαν εὑρίσκων τῶν συμφορῶν διὰ τὸ τὴν ὀργήν σου μὴ συγχωρεῖν. Τὸ δὲ ἀπὸ προσώπου σωματοποιήσας περὶ τῆς ὀργῆς ἔφησεν, ἵνα εἴπῃ ὅτι ἡ ὀργὴ ὥσπερ παροῦσα τοῖς γιγνομένοις καὶ ἐπιβλέπουσα οὕτως διατίθησι τὰς κατ' ἐμοῦ συμφοράς.

4 «Οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μοι ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου»

Ὥσπερ πρὸς τό «τὰ βέλη σου ἐνεπάγησάν μοι» ἀκολούθως ἐπήγαγε τό «οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου», οὕτως πρὸς τό «καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου» τοῦτο τό «οὐκ ἔστιν εἰρήνη τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου»[2], τουτέστιν ἡ χείρ σου βαρεῖά τις οὖσα καὶ δυνατὴ ἐπιτεθεῖσα πάντα μου διέλυσε καὶ διεσάλευσε τὰ ὀστᾶ. Σωματικῶς γὰρ τῆς τοῦ Θεοῦ τιμωρίας ἐπιμνησθεὶς ἀκολουθεῖ διόλου ἑαυτῷ κατὰ τὴν τῆς σωματοποιήσεως ἀρχήν· ταύτῃ γὰρ ἀπανταχοῦ κέχρηται τῇ συνηθείᾳ. Ἐμνημόνευσε δὲ τῶν ὀστέων πρὸς παράστασιν τῆς ἰσχυρᾶς συντριβῆς, ὡς καὶ ἀλλαχοῦ «καὶ τὰ ὀστᾶ μου ἐταράχθη σφόδρα»[3], ἵνα εἴπῃ ὅτι ἰσχυρῶς ἐταράχθην. Καλῶς δὲ ἐπήγαγε τό «ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου», ἐπειδὴ **224** ἄνω θυμοῦ καὶ ὀργῆς ἐμνημόνευσε καὶ τιμωρίας βαρυτάτης, ὥστε δεῖξαι ὅτι οὐκ ἄλογός τις ἦν ἡ τοῦ Θεοῦ ὀργὴ ἀλλὰ δικαίως ἀπὸ τῶν αὐτοῦ ἁμαρτιῶν κινουμένη. Διὰ τοῦτο ὥσπερ ἐπὶ τῆς ὀργῆς εἶπεν ἀπὸ προσώπου, οὕτως καὶ ἐπὶ τῶν ἁμαρτιῶν, — τουτέστιν ὅτι αὐταὶ αἱ ἁμαρτίαι ὥσπερ ὁρώμεναι διὰ τὸ μέγεθος τούτων μοι πρόξενοι τῶν κακῶν

1. Ψαλ. 37,3-4. 2. Ψαλ. 37,4. 3. Ψαλ. 6,3.

γεγόνασιν. Εἶτα καὶ βαρύτερον αὐτὸ δεικνὺς καὶ εὐγνωμόνως τοῦ μεγέθους τῶν συμφορῶν ἑαυτῷ περιάψαι τὴν αἰτίαν βουληθείς, ἐπάγει·

5 «Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου»

Τοιαῦται γάρ εἰσι τῷ μεγέθει ὡς ὑπεραίρουσαι καθέλκειν, καὶ ταπεινοῦν, καὶ καθιστᾶν ἐν τῷ πλήθει τῶν συμφορῶν· τὸ γὰρ ὑπὲρ κεφαλῆς[1] ὂν εὐχερῶς συνωθεῖ καὶ καθέλκει.

«Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ»

Πολλαὶ τοίνυν οὖσαί φησι καὶ μέγισται, ὥσπερ τι «φορτίον βαρύ»[2] καὶ ἀνύποιστον ἐπικείμεναι, συνώθησαν εἰς τὰς συμφοράς.

6 «Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου»

Διὰ τοῦτο, φησί, γέγονε μεγάλα τὰ τραύματά μου οὐκέτι ἴασιν ἐπιδεχόμενα· τὰ γὰρ ἕλκη «προσώζεσαν»[3] τὰ ἀνέλπιστον ἔχοντα λοιπὸν τὴν ὑγείαν.

«Ἀπὸ προσώπου τῆς ἀφροσύνης μου»

Ταῦτα δὲ πάσχω φησὶν ὑπὲρ ὧν ἀφρόνως ἔπραξα, πάλιν κἀνταῦθα τῆς οἰκείας ἁμαρτίας ἐξάπτων τῶν συμφορῶν τὴν αἰτίαν.

7 «Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους»

Διὰ ταῦτα ἐξητάσθην ἐν ταλαιπωρίαις καὶ πολλῶν ἐπειράθην κακῶν. Τὸ δέ «κατεκάμφθην»[4], ἀντὶ τοῦ σφόδρα ἐταπεινώθην ὑπὸ τῶν κακῶν, ἐπειδὴ ὁ κατακαμπτόμενος τοῦ οἰκείου τῆς ἡλικίας ὕψους πλεῖστον ὅσον ταπεινότερος γίνεται.

«Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην»

Διετέλουν τοίνυν φησὶν ἐν σκυθρωπότητι.

8 «Ὅτι αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων»

Ἐπειδὴ ἀποβλέπων φησὶ πρὸς τὸ πλῆθος τῶν ἁμαρτιῶν τῶν ἐμῶν, οὐδεμίαν ἴασιν προσεδόκων ἐπὶ ταῖς συμφοραῖς. **225** Τὸ

---

1. Πρβλ. Ψαλ. 37,5. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 37,6. **4.** Ψαλ. 37,7.

γάρ «αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων»[1] σεμνότερον τὴν ἁμαρτίαν αἰνίττεται· αἱ γὰρ ψύαι παράκεινται τοῖς νεφροῖς, οἱ δὲ νεφροὶ γεννητικοὶ τῆς κινήσεώς εἰσι.

Ἀμέλει πολλοὶ τῶν ἀκίνητα ἐκεῖνα τὰ μόρια ἐργάζεσθαι βουλομένων, φαρμάκων ἐπιθέσει τοὺς νεφροὺς νεκροῦντες, οὕτως ἀκινησίαν αὐτοῖς ἐργάζονται· διὰ τοῦτο, φησίν, «ὅτι αἱ ψύαι μου ἐπλήσθησαν ἐμπαιγμάτων», ἀπὸ τοῦ μέρους τοῦ περὶ τοὺς τόπους εἰρηκώς, καί «ἐμπαιγμάτων» καλέσας τὴν ἐπιθυμίαν ὡς καταχρατήσασαν καὶ παίγνιον αὐτὸν καὶ χλεύην ἐργασαμένην.

Ἔθος δὲ τοῦτο τῇ Γραφῇ ἀπὸ μέρους τοῦ περὶ τοὺς τόπους ἐκείνους πολλάκις τὴν γέννησιν λέγειν — ὡς παρὰ τῷ Ἀποστόλῳ· «ἔτι γὰρ ἐν τῇ ὀσφῦϊ τοῦ πατρὸς ἦν»[2]. Ἀκύλας καὶ Θεοδοτίων τό «ἐπλήσθησαν ἐμπαιγμάτων» φανερώτερον εἶπον 'ἐπλήσθησαν ἀτιμίας'.

9 «Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα»

Καὶ διὰ ταῦτά φησι πολλῶν ἔλαβον πεῖραν κακῶν.

«Ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου»

Ἀπό τε τοῦ πλήθους τῶν κακῶν, οὐ φέρων τῆς καρδίας τὸν στεναγμόν, ἐκβοᾶν ἠναγκαζόμην. «Ὠρυόμην»[3] δὲ εἶπεν ἀντὶ τοῦ ἐξεβόων, ἐπειδὴ ἔθος τοῖς κυσίν, ἐπειδὰν καιρίαν λάβωσι τὴν πληγήν, πενθικήν τινα καὶ θρηνητικὴν ἀποτελεῖν φωνήν — ὅπερ ὠρύεσθαι λέγεται κυρίως. Τὴν οὖν ἐπίτασιν βουλόμενος εἰπεῖν, ἐχρήσατο τῇ ἐπὶ τῶν ἀλόγων λεγομένῃ φωνῇ· διὰ τὸ μέγεθος τῆς συμφορᾶς οὐδὲ ἀνθρωπίνως ἐβόων, ἀλλὰ δίκην κυνὸς ὠρυόμενος διετέλουν.

10 «Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου»

Τοῦτο μάλιστα τῆς εὐλαβείας τοῦ μακαρίου Δαβὶδ τὸ γνώρισμα. Εἰρηκὼς γὰρ διὰ πολλῶν τῶν ἁμαρτιῶν τὸ πλῆθός τε καὶ τὸ μέγεθος, καὶ μνημονεύσας τῆς ἐπὶ τούτοις κινη**226**θείσης ὀργῆς τοῦ Θεοῦ κατ' αὐτοῦ, οὐκ εἶπεν ὅτι Κύριε, ἀπάλλαξόν με. Ἀλλὰ τί φησιν; «Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου»[4]. Οὐ τολμῶ,

---

1. Ψαλ. 37,8. **2.** Ἑβρ. 7,10. **3.** Ψαλ. 37,9. **4.** Ψαλ. 37,10.

φησίν, ἀπαλλαγὴν αἰτῆσαι τῶν συμφορῶν, — οὐ γὰρ ἐᾷ τῶν ἁμαρτιῶν τὸ πλῆθος μετὰ παῤῥησίας ποιήσασθαι τὴν αἴτησιν, — «ἐναντίον σου» οὖν, φησί, «πᾶσα ἡ ἐπιθυμία μου», τουτέστιν αὐτὸς οἶδας τί ἐπιθυμῶ, τὴν ἀπαλλαγὴν τῶν κακῶν τῶν περιεχόντων με. Ἐπειδὴ οὖν ἐγὼ μὲν αἰτῆσαι οὐ τολμῶ, αὐτὸς δὲ οἶδας ὅπερ ἐπιθυμῶ, τοῦτο πλήρωσον ὅπερ αὐτὸς οἶδας χρήσιμον.

«Καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἐκρύβη»

Κατάδηλός σοί ἐστι, φησί, καὶ ὁ στεναγμὸς ὁ ἐμός, τουτέστιν αἱ θλίψεις καὶ αἱ ὀδύναι, καὶ οἶδας, φησίν, ὃ ἐπιθυμῶ, καὶ τῶν συμφορῶν ὧν ὑπέστην τὸ πλῆθος οὐκ ἀγνοεῖς. Ἑξῆς δὲ καταλέγει καὶ τὰς ἐπιγεγενημένας αὐτῷ συμφοράς.

11 «Ἡ καρδία μου ἐταράχθη»

Τοῦτο καὶ τὰ ἑξῆς πρὸς τό «οὐκ ἀπεκρύβη» ἐπάγει, ἵνα εἴπῃ ὅτι οἶδας ὅπως τόδε ὑπέστην καὶ ὅπως τόδε. Οἶδας οὖν, φησίν, ἐν ὅσῃ κατέστην ταραχῇ τὴν καρδίαν ὑπὸ τοῦ πλήθους τῶν κακῶν ἐν ἀπορίᾳ πολλῇ καταστάς, καὶ ὅπως ἐξησθένησα πάσης ἐκτὸς κατασταθεὶς τῆς οἰκείας ἰσχύος.

«Ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστιν μετ' ἐμοῦ»

Καὶ ὅτι φησὶν ἀπὸ τῆς ὑπερβαλλούσης ἀθυμίας ὥστε ἐν σκοτώσει καταστάς, οὐκέτι οὐδὲ διορᾶν δύναμαι.

12 «Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν»

Ἀλλὰ καὶ τοῦτο, φησίν, ἐπίστασαι ὅτι οἱ φίλοι καὶ οἱ σφόδρα γνήσιοι ἀεὶ μετ' ἐμοῦ ἀναστρεφόμενοι καὶ πλησιάζοντές μοι, καὶ οὗτοι μετὰ τῶν ἐχθρῶν κατέστησαν εἰς τὸν κατ' ἐμοῦ πόλεμον. Τὸ οὖν «ἐξ ἐναντίας μου ἤγγισαν»[1], ἵνα εἴπῃ ὅτι «τοῖς ἐξ ἐναντίας μου ἤγγισαν» καὶ μετ' αὐτῶν «ἔστησαν» κατ' ἐμοῦ.

«Καὶ οἱ ἔγγιστά μοι ἀπὸ μακρόθεν ἔστησαν»

Καὶ οἱ ποτέ μοι ἐγγίζοντες ἤγγιζον μὲν ἑτέροις, ἐμηκύνοντο δὲ

1. Ψαλ. 37,12.

ἐμοῦ, — ἵνα εἴπῃ ὅτι οἱ πρότερόν μου φίλοι εἰς ἐχθροὺς κατέστησαν.

13 «Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου»

227 Περὶ τῶν αὐτῶν λέγει. Καὶ οὐ μόνον φησὶν ἐχθροί μου κατέστησαν, ἀλλὰ γὰρ καὶ σφόδρα ἠγωνίσαντο εἰς τὸ τὴν ψυχήν μου λαβεῖν, τουτέστιν εἰς τὸ ἀνελεῖν με.

Τὸ οὖν «οἱ» ἀπὸ τοῦ ἰδιώματος παράκειται τοῦ ἑβραϊκοῦ· τὸ γὰρ ῥητὸν ἀκολούθως τῷ ἄνω κεῖται. Πρὸς οὖν τὴν τῆς διανοίας ἀκολουθίαν οὕτως ἀναγνωστέον· «καὶ οἱ ἔγγιστά μοι ἀπὸ μακρόθεν ἔστησαν καὶ ἐξεβιάζοντο ζητοῦντες τὴν ψυχήν μου»[1]. Οὕτως εἶπε καὶ Ἀκύλας· 'ζητοῦντες τὴν ψυχήν μου', τό «οἱ» μὴ τεθεικώς.

«Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας»

Ὁμοίως κἀνταῦθα πάλιν τό «οἱ» παράκειται. Ἡ γὰρ ἀκολουθία αὕτη· «ζητοῦντες τὰ κακὰ ἐλάλησαν ματαιότητας»[2], βουλόμενος εἰπεῖν ὅτι καὶ ἀνελεῖν με ἐσπούδαζον οἱ ποτέ μου φίλοι, καὶ ἐπάγειν μοι σπουδάζοντες πᾶν εἴ τι κακὸν ἄτοπα ἐφθέγγοντο κατ' ἐμοῦ καὶ ψευδῆ.

«Καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν»

Καὶ μετὰ πολλῆς τῆς πανουργίας ἐβουλεύοντο κατ' ἐμοῦ.

14 «Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ»

Καὶ τοσούτων γενομένων διεκείμην ὡς οὐδεμίαν αἴσθησιν ἔχων τῶν λεγομένων, καὶ διετέλουν σιωπῶν καὶ μὴ ἀποκρινόμενος πρὸς τὰ παρ' ἐκείνων λεγόμενα, ὡσπερεὶ ἄλαλος τυγχάνων καὶ ἀνοίγειν τὸ στόμα[3] οὐ δυνά**228**μενος. Τοῦτο δὲ εἰκὸς μὲν αὐτὸν ἐπὶ πολλῶν πεποιημένον, δείκνυται δὲ καὶ ἐπὶ τοῦ Σεμεεὶ γεγονός[4], ἡνίκα καταρωμένου ἐκείνου καὶ λίθοις βάλλοντος τοσοῦτον ἀπέσχε τοῦ τι ἀποκρίνασθαι πρὸς τὰ παρ' ἐκείνου λεγόμενα, ὅτι καὶ τῷ στρατηγῷ προσηγανάκτησεν ἀμύναι αὐτῷ βουληθέντι.

---

1. Ψαλ. 37,12-13. **2.** Ψαλ. 37,13. **3.** Πρβλ. Ψαλ. 37,14. **4.** Πρβλ. Β' Βασ. 16,13.

15 «Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς»

Πάλιν δευτεροῖ μειζόνως αὐτὸ ἐξηγούμενος. Διετέθην γάρ, φησίν, ὡς οὐκ ἀκούων[1] τῶν γινομένων καὶ ὑπέμενον ἅπαντα· ὥσπερ ἂν εἴ τις ἐν κρίσει ἐξεταζόμενος καὶ ἐλέγχειν τὰ κατ' αὐτοῦ μὴ δυνάμενος ὡς ψευδῆ πρὸς μηδὲν ἀποκρίνοιτο τῶν ἐπαγομένων, ἀλλὰ καταδέχοιτο μετὰ σιωπῆς ἅπαντα, κἀγώ, φησί, διὰ τὴν ἁμαρτίαν ἠνειχόμην τῶν ἐπαγομένων μοι κακῶν, εἰδὼς ὅτι δικαίως ἅπαντα πάσχω. Ταῦτα δὲ ὅλα ἀπέδωκε πρὸς τό «καὶ ὁ στεναγμός μου ἀπό σου οὐκ ἀπεκρύβη»[2], τὸν στεναγμὸν εἰπὼν ἀντὶ τοῦ τὰς συμφοράς, ἐπειδὴ πᾶσα θλίψις στεναγμὸν εἴωθε ποιεῖν τῷ πάσχοντι. Ἑξῆς οὖν τῶν συμφορῶν ἐποιήσατο κατάλογον, ἵνα εἴπῃ ὅτι οὐ λέληθέ σε τὸ μέγεθος τῶν κακῶν μου, οὐχ ὅσα ὑπέστην ὑπὸ τοῦ μεγέθους τῶν συμφορῶν, οὐχ ὅσα οἱ φίλοι διατεθείκασιν, οὐχ ὅπως διετέθην πρὸς τὰ ἐπαγόμενα.

16 «Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου»

Οἶδας δέ, φησίν, ὅτι, τούτων ἁπάντων γιγνομένων, εἴς σε ἤλπισα[3] ὡς ἔχοντα εἰσακοῦσαι τῶν ῥημάτων μου. Ποίων δὴ ῥημάτων, ἑξῆς φησιν.

17 «Καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλορρημόνησαν»

229 Καὶ μὴ περιτραπέντος μου ὑπὸ τοῦ μεγέθους τῶν κακῶν ὑπερήφανα φθέγξονται, καυχώμενοι[4] ἐπὶ τοῖς ἐμοῖς κακοῖς. Οὕτω λέγει καὶ Σύμμαχος· 'ἔλεγον γὰρ μή ποτε ἐπιχαρῶσί με οἱ ἐχθροί μου, κἂν περιτραπῶσιν οἱ πόδες μου καταμεγαλύνοντές μου'.

18 «Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος»

Ὅτι πρόκειμαι πάσχειν τῷ βουλομένῳ.

---

1. Πρβλ. Ψαλ. 37,15. **2.** Ψαλ. 37,10. **3.** Πρβλ. Ψαλ. 37,16. **4.** Πρβλ. Ψαλ. 37,17.

«Καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου διὰ παντός»

Καὶ ὁ πόνος καὶ ἡ θλίψις τῶν κακῶν πρὸ τῶν ὀφθαλμῶν εἰσι τῶν ἐμῶν, τουτέστιν ἀχώριστοί[1] μου καθεστήκασιν.

19 «Ὅτι τὴν ἀνομίαν μου ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου»

Ταῦτα δὲ ὅλα ἀπέδωκε πρὸς τό «Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἐκρύβη»[2], τουτέστι ταῦτα πάντα ἐπίστασαι καὶ ὅτι ἑκάστοτε ἐξαγορεύω τὴν ἀνομίαν μου, καὶ ἐξαγορεύω οὐχ ἁπλῶς, ἀλλὰ μεριμνῶν[3] ταύτης ἕνεκεν πότε ἄρα τυχεῖν τῆς ἀφέσεως δυνηθῶ.

20 «Οἱ δὲ ἐχθροί μου ζῶσιν καὶ κεκραταίωνται ὑπὲρ ἐμέ»

230 Καὶ οἱ ἐχθροί μου διαμένουσι καὶ ἰσχυροποιοῦνται ἑκάστοτε.

«Καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως»

Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑκάστοτε πληθύνονται καὶ προστίθενται οἱ ἐχθροί μου, καὶ ταῦτα «ἀδίκως»[4], οὐδεμίαν ἔχοντες αἰτίαν εὔλογον τῆς ἔχθρας τῆς κατ' ἐμοῦ. Πόθεν δὲ τοῦτο ὅτι μισοῦσιν ἀδίκως, ἑξῆς ἐπάγει.

21 «Οἱ ἀνταποδιδόντες κακὰ ἀντὶ ἀγαθῶν»

Ποίαν γὰρ εἶχον αἰτίαν εὔλογον τῆς ἔχθρας τῆς κατ' ἐμοῦ, εὐεργετηθέντες ὑπ' ἐμοῦ καὶ ἀντὶ τῶν ἀγαθῶν ὧν ἔλαβον παρ' ἐμοῦ κακά μοι ἀποδιδόντες;

«Ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον δικαιοσύνην»

Καὶ ἐμοῦ, φησί, δικαιοσύνης ἐπιμελουμένου διαβάλλοντες ἐκεῖνοι καὶ κατηγοροῦντες διετέλουν[5]· ὅπερ ἐγένετο μὲν παρὰ πολλῶν καὶ πρὸς τὸν λαὸν καὶ πρὸς τὸν Ἀβεσσαλὼμ διαβαλλόντων, ἐγένετο καὶ παρ' αὐτοῦ τοῦ Ἀβεσσαλὼμ ἡνίκα ἕκαστον τῶν κρίσιν ἐχόντων παρὰ τῷ βασιλεῖ ἐφείλκετο πρὸς ἑαυτὸν ἀπατῶν

---

1. Πρβλ. Ψαλ. 37,18. **2.** Ψαλ. 37,10. **3.** Πρβλ. Ψαλ. 37,19. **4.** Ψαλ. 37,20. **5.** Πρβλ. Ψαλ. 37,21.

καὶ λέγων· οἱ λόγοι σου ἀγαθοὶ καὶ καλοί, εἰ δὲ καὶ ἀκούων γένοιτο ἐν Ἰσραήλ[1].

«Καὶ ἀπέῤῥιψαν με τὸν ἀγαπητὸν ὡσεὶ νεκρὸν ἐβδελυγμένον»

Καὶ τοῦτο, φησίν, ἐποίουν ἐπ' ἐμὲ τόν ποτε ἀγαπώμενον αὐτοῖς, ἀποῤῥίψαντες ὥσπερ τινά «νεκρὸν ἐβδελυγμένον». Τὸ δέ «ἐβδελυγμένον» παρατέθεικεν, ἐπειδὴ ἐγχωρεῖ καὶ νεκρὸν ἐν τιμῇ καθεστάναι γονεῦσιν, ἢ ὅλως τοῖς διάθεσιν περὶ αὐτὸν ἔτι ζῶντα κεκτημένοις, — ταῦτα δὲ πρὸς τὸ Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου ἀκολούθως ἐπαγαγών, ἀντὶ τοῦ οἶδας ἃ ἐπιθυμῶ, οἶδας **231** ἃ ἔπαθον, οἶδας ὅτι ἐπί σοι ἤλπισα, οἶδας ὅτι ἐξηγόρευσα τὴν ἁμαρτίαν, οἶδας ὅτι μὴ διέλιπον πάσχων τὰ κακά, οἶδας τὰ ἐπαχθέντα μοι παρὰ τῶν φίλων. Εἶτα ἑξῆς φησιν·

22 «Μὴ ἐγκαταλίπῃς με, Κύριε»

Τουτέστι ταῦτα πάντα ἐπιστάμενος, μὴ ἐναφῇς με τοῖς κακοῖς· ἀρκεῖ γὰρ ταῦτα ἐκκαλέσασθαί μοι τὴν παρά σοι βοήθειαν, τὸ μέγεθος τῶν θλίψεων ἀρκούντως ὑπὲρ ὧν ἥμαρτον πεπονθότος, ἡ ἐμὴ διάθεσις πολλάκις τὴν ἁμαρτίαν ἐξαγορεύοντος.

«Ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ»

Μὴ μακρύνῃς σου, φησίν, τὴν βοήθειαν «ἀπ' ἐμοῦ»[2].

23 «Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου»

Ἀλλ' αὐτός, φησίν, ὁ καί «τῆς σωτηρίας μου»[3] Δεσπότης, ὁ ταύτην μοι χαρίζεσθαι ἐξουσίαν ἔχων, αὐτὸς πρόσχες εἰς τὸ βοηθῆσαί μοι, τουτέστι φρόντισον τοῦτο διαπράξασθαι.

Ψαλμὸς 38

Ἐν μὲν ταῖς κατὰ τὸν Σαοὺλ ἐξεταζόμενος συμφοραῖς ὁ μακάριος Δαβὶδ καὶ ἐν ἀθυμίᾳ μεγίστῃ καθεστὼς τοῦτον ἀπεφθέγξατο τὸν ψαλμόν. Ἔστι δὲ παιδευτικὸς ἤπέρ τις ἕτερος, ἱκανώτατα διδάσκειν δυνάμενος τὸ καρτερικὸν ἐν ταῖς συμφοραῖς ἐπιδείκνυ-

---

1. Πρβλ. Β' Βασ. 15,3. **2.** Ψαλ. 37,22. **3.** Ψαλ. 37,23.

σθαι. Λέγει γὰρ ἐν αὐτῷ καὶ περὶ τῶν κατὰ τὸν βίον τοῦτον ἐν εὐθηνίαις καὶ πλούτῳ καθεστώτων καὶ πολὺν ὑπὲρ τοῦ πλου**232**τεῖν πόνον ἐπιδεικνυμένων, ὡς μάταια καὶ ἀνωφελῆ πονούντων, ἀπὸ τῆς ὑποθέσεως συνήθως τῶν τοιούτων λόγων τὴν ἀφορμὴν δεξάμενος, δι' ὧν παιδεύει πάντας ἀνθρώπους μὴ πολλὴν εἰς μάτην ἐπιδείκνυσθαι τὴν περὶ ταῦτα σπουδήν.

2 «Εἶπα Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου· ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου»

Ἔθος ἐστὶ τοῖς ἀνθρώποις ἅπασι δυσχεραίνειν μὲν ὁπόταν ἴδωσι τοῖς ἁμαρτωλοῖς κατευθυνομένας τὰς προθέσεις, δυσχεραίνειν δὲ καὶ ἐπὶ ταῖς οἰκείαις συμφοραῖς, μάλιστα ὅταν ὑπὸ ἀδίκων πάσχοντες ἑαυτοῖς ὦσιν ἀρετῆς τρόπον συνειδότες· ἐκτρέπονταί τε οἱ πολλοὶ ἀπὸ τῶν τοιούτων ἐπὶ δυσφημίας καὶ ἀποδυσπετήσεις τὰς εἰς τὸν Θεὸν τῶν ὅλων. Διό, φησίν, ὁ μακάριος Δαβίδ· «εἶπα Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου»[1]. Εἶπον, φησί, κατ' ἐμαυτόν, τουτέστιν ἐδοκίμασα καὶ ἔκρινα, φυλάξαι ἐμαυτὸν ἀπὸ πάσης ἁμαρτίας. Τὸ δέ «ἐν τῷ συστῆναι» οὐκ εἶπε τὸν ἐχθρόν, ἀλλὰ τὸν ἁμαρτωλόν, ἀπὸ τῆς αἰτίας δι' ἣν ἤχθραινεν ἀδίκως ἁμαρτωλὸν καλέσας εἰκότως, ἵνα δείξῃ ὅτι τοῦτο ἦν ὅπερ αὐτὸν ἐλύπει ὅτι ἀδίκως ἔπασχεν.

3 «Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν»

Ὡς δὲ μετὰ τὴν δοκιμασίαν ταύτην ἐν μεγίσταις συμφοραῖς ἐξετασθείς, παντὸς ἀγαθοῦ κατέστην ἀλλότριος. Τὸ γάρ «ἐκωφώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν»[2] εἶπε, τουτέστιν ἄμοιρος καὶ ἀλλότριος ἐγενόμην παντὸς ἀγαθοῦ, οὐδενὸς ἀπολαύσας ἢ μετεσχηκὼς χρησίμου, ἀπὸ τοῦ τῶν τοιούτων μήτε ἀκούειν τι τῶν λαλουμένων ὑπὸ κωφότητος ἐμποδιζομένων, μήτε ἀποκρίνασθαι πρὸς τὰ λεχθέντα δύνασθαι· πῶς γὰρ ὧν οὐκ ἤκουσε σιγῇ δὲ κατεχόμενον, ὥσπερ ἀλλότριόν τινα δοκεῖν εἶναι καὶ ἀμέτοχον τῶν λεχθέντων.

---

1. Ψαλ. 38,2. **2.** Ψαλ. 38,3.

«Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη»

233 Μετὰ τοίνυν τὴν δοκιμασίαν ἐκείνην ταπεινωθεὶς μὲν ὑπὸ τῶν συμφορῶν, μηδενὸς δὲ ἀπολαύσας ἀγαθοῦ ἀλλὰ πάντη τῶν τοιούτων ἀκοινώνητος καταστάς, ἔσχον πάλιν ἀνακαινισθεῖσαν ἐπὶ τῆς καρδίας τὴν ἐπὶ τούτοις ὀδύνην. Διὰ τοῦτο οὖν καλῶς εἶπε τό «ἀνεκαινίσθη», ἐπειδὴ δοκιμάσας τούτων ὑπερφρονεῖν καὶ μηδὲν ἐπὶ τούτοις φθέγγεσθαι ἄτοπον, καὶ καταπαύσας τῷ λογισμῷ τὴν ἐπὶ τούτοις ὀδύνην, ὥσπερ παλαιωθεῖσαν πάλιν εἶχεν ἀνακαινιζομένην ἐν ἑαυτῷ τὴν ἀθυμίαν, τῶν γινομένων τοῦτο ἐξ ἀνάγκης ἐργαζομένων.

4 «Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου»

Πάλιν ἐπὶ τούτοις, φησίν, ὀργιζόμενος ἐκινήθην τὸν λογισμόν. Τὸ δέ «ἐθερμάνθη», εἶπεν, «ἡ καρδία μου»[1], ἐπειδὴ μάλιστα ὅταν ἐπί τισιν ὀργιζώμεθα, κινουμένης τῆς ψυχῆς, εἰώθαμεν ἀναζεῖν τὸ περὶ τὴν καρδίαν αἷμα. Διὰ τοῦτο εἶπε τό «ἐθερμάνθην», ἀντὶ τοῦ ὠργίσθην· ἐπὶ γὰρ τοῖς τοιούτοις μετά τινος ὀργῆς ἡ ἀθυμία γίνεται.

«Καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ»

Καὶ ἐφ' ὅσον, φησίν, ἐθεώρων ταῦτα γινόμενα, ἀναλαμβάνων αὐτῶν τὴν μνήμην ἐπὶ τῆς καρδίας, μειζόνως ἐξεκαιόμην τὸν λογισμόν· «μελέτην» γὰρ καλεῖ τὴν μνήμην, ἀπὸ τοῦ τὸ μελετώμενον πάντως ἐν μνήμῃ καθεστάναι τοῦ μελετῶντος, — οὕτω λέγει καὶ Σύμμαχος· 'Καὶ ἐν τῷ ἀναπολεῖν με ἀνεκαιόμην πυρί'. Διὸ καλῶς εἶπεν ἀνωτέρω «ἐθερμάνθη», εἶτα ἐνταῦθα «ἐκκαυθήσεται πῦρ», τὴν ἐνθύμησιν καὶ τὴν ἐπὶ τούτοις αὔξησιν τῆς ὀργῆς παρασημαίνων, ἐπείπερ τὸ πῦρ ἀρχόμενον μὲν ἔτι διαθερμαίνει μόνον, περιδραξάμενον δὲ τῶν ὑλῶν ἐξαφθὲν ἐπὶ πολὺ κατακαίειν δύναται.

4-5 «Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου»

Ἐπειδὴ τοίνυν ἐδοκίμαζον μὲν ἐπὶ τῶν τοιούτων μηδὲν ἄτοπον φθέγγεσθαι ἀλλὰ πάντων ὑπερορᾶν καὶ καταφρονεῖν, τὰ δὲ γινό-

1. Ψαλ. 38,4.

μενα εἰς ὀργὴν καὶ ἀθυμίαν κινοῦντα παρεσκεύαζε καὶ ἄκοντά με πολλάκις τοῖς τοιούτοις χρῆσθαι ῥήμασι, δεδιὼς μὲν τὸ ἁμαρτάνειν, τὰ γινόμενα δὲ ὁρῶν ἱκανὰ πρὸς τοῦτο **234** κατασπᾶν, ἐφθεγξάμην καὶ ᾔτησα γνῶναι τὸ τέλος τῆς ζωῆς τῆς ἐμῆς· τότε γὰρ ᾔδειν ὅτι παύσεταί μοι τὰ τῶν συμφορῶν καὶ ἡ τῶν γινομένων αἴσθησις ἐξ ἀνάγκης, οὐ τότε ὀργή με ἐπὶ τοῖς γινομένοις οὐδεμία καθέξει.

«Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου, τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ»

Ἤτησα, φησί, γνῶναι τὸ τέλος καὶ πόσος ἐστὶν ὁ τῶν ἡμερῶν ἀριθμὸς τῆς ζωῆς τῆς ἐμῆς[1], ἵνα δυνηθῶ μαθεῖν πόσος μοι χρόνος ἔτι εἰς ζωὴν καταλέλειπται, οὕτω τε παραμυθίαν λάβω τῶν κακῶν, ἐκτείνων εἰς τὸ πέρας τῆς ζωῆς τὸν λογισμόν, ἔνθα τὴν ἀπαλλαγὴν πάντως ἔξω τῶν κακῶν. Ἀνάγκη γὰρ ἦν μαθόντα πάσης αὐτοῦ τῆς ζωῆς τὸν χρόνον καὶ εἰδότα τὸν ἀριθμόν, ὃν ἤδη ἐν τῇ ζωῇ διατετελέκει, γνωρίσαι τὸ ὑπολιμπανόμενον.

Τοῦτο δὲ λέγει, οὐχ ὡς πάντως ἑκάστῳ τοῦ Θεοῦ μετροῦντος τῆς ζωῆς τὸν χρόνον, ἀλλ' ὡς εἰδότος τῇ προγνωστικῇ δυνάμει ὅσον ἕκαστος ζήσεται τῶν ἀνθρώπων.

6 «Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου»

Ταῦτα δέ, φησίν, αἰτῶ μαθεῖν εἰκότως· ἐπίσταμαι γὰρ ὅτι οὐκ εἰς ἀΐδιόν με ζωὴν κατεσκεύασας, ἀλλ' ὥσπερ μέτροις τισὶν ὑπέβαλές μου τὴν ζωήν, τουτέστιν ἐκτείνεσθαι ἡμῶν τὴν ζωὴν ἁπλῶς οὐκ ἔταξας.

Εἰ γὰρ ἑκάστῳ τῶν ἀνθρώπων οὐκ ἐμέτρησε τὴν ζωήν, ἀλλ' οὖν γε κοινῶς ἐμέτρησε τοῖς ἀνθρώποις, οἷον εἰπεῖν οὐκ ἐπιτρέπων ἀνθρώπῳ ὑπερβαίνειν ἑκατὸν πεντήκοντα ἐτῶν ἀριθ**235**μὸν ἐν τῇ παρούσῃ γενεᾷ καθ' ἣν ταῦτα ἐφθέγγετο ὁ μακάριος Δαβίδ, κἂν τὸν μὲν ἐπὶ πλεῖον τοῦ ἑτέρου, τὸν δὲ ἐπ' ἔλαττον ζῆν συμβαίνῃ.

Καὶ γὰρ ταῦτα περὶ τῆς φύσεως τῶν ἀνθρώπων ὡς ὀλιγοχρονίου ὑπὸ τοῦ Θεοῦ κατασκευασθείσης λέγει, καὶ οὐχ οἷον εἰπεῖν

1. Πρβλ. Ψαλ. 38,5.

ἀδιαλύτου ὡς ἡ τῶν Ἀγγέλων ἢ ἑτέρου τινὸς τῶν νοητῶν. Ὁ γάρ τοι Θεὸς λόγῳ τινὶ κρατίστης οἰκονομίας, θανάτου μὲν ἅπαξ ἀποφάσει τὴν ἡμετέραν φύσιν ὑποβαλών, κατεσκεύασεν εἰς φανερὸν ἐτῶν ἀριθμὸν διαρκεῖν δυναμένους, ὡς μήτε ταχείαν ἅμα τῇ πλάσει τὴν διάλυσιν ὑπομένειν, μήτε ἁπλῶς ἡμῖν εἰς ἄπειρον ἐκτείνεσθαι τὴν ζωήν, ὅπερ ἀδύνατον ἦν ἅπαξ τῆς ἀποφάσεως τοῦ θανάτου κρατούσης ἐν ἡμῖν συμφερόντως, — ὥσπερ καὶ οἱ τὰς οἰκίας κατασκευάζοντες ἀπὸ τῆς περὶ τὴν οἰκοδομὴν σπουδῆς τε καὶ ἐπιμελείας τὴν ποσότητα τῆς τοῦ χρόνου διαμονῆς ταῖς οἰκίαις χαρίζονται, πλείονα μὲν εἰ μᾶλλον σπουδάσαιεν, ἐλάττονα δὲ εἰ τούτῳ χρήσαιντο ἐπὶ τῆς οἰκοδομῆς τῷ τρόπῳ.

Τὸν δέ γε τῶν ἐτῶν ἀριθμόν, εἰς ὃν διαρκεῖν ἡμῶν ἠβουλήθη τὴν ζωήν, περιγράψας, οἷον εἰπεῖν ὡς ἐφ' ἡμῶν ὡς ρ' ἢ βραχύ τι πλέον ἢ ἔλασσον, ἕκαστον ὡς ἂν ἔχοι κράσεως ἀποπληροῦν τὸν τῆς οἰκείας ζωῆς ἀριθμὸν συγχωρήσας καὶ τὰ πάθη κρατεῖν ἐν ἡμῖν ἅτε δὴ ὡς ἐν φύσει θνητῇ καὶ τὰς ἀπὸ τῶν συμπτωμάτων ἀῤῥωστίας τε καὶ θανάτους, ἀφ' ὧν ἐπ' ἔλαττόν τινας ἑτέρων ζῆν συμβαίνει. Αὐτὸν γὰρ ὁρίζειν τῷ καθενὶ τὸν χρόνον τῆς ζωῆς ἄγαν ἀπρεπέστατον ἦν. Εἴτε γὰρ τῷ μὲν ὥριζε πλέον, **236** τῷ δὲ ἔλαττον, ἀδικίας ἦν οὐ κατ' ἰσότητα νέμοντος τὴν ζωὴν τοῖς ἀνθρώποις.

Εἴτε καὶ τὴν ἰσότητα ἐφύλαττεν, ἔδει τὴν φύσιν ἐν τῷ μέσῳ χρόνῳ μένειν ἀπαθῆ ὡς ἂν διαρκῇ μέχρι τοῦ τῆς ζωῆς ὅρου, μὴ διακοπτομένη ὑπὸ τῶν ἐν τοῖς σώμασι παθῶν, καὶ πάλιν ἀνῃρεῖτο ὁ τοῦ θανάτου ὅρος συμφερόντως κείμενος ἐν τῇ φύσει. Ἀπαθῆ γὰρ οὖσαν, ἀνάγκη πᾶσα καὶ ἀθάνατον εἶναι, ἀνῃρεῖτο δὲ καὶ τὸ ὑπὲρ Χριστοῦ παθεῖν τῷ σώματι εἴτε ἐν τοῖς μαρτυρίοις, εἴτε καὶ τῷ τῆς ἐγκρατείας λόγῳ, ἀνῃρεῖτο δὲ καὶ τῶν κατὰ τὴν ἀρετὴν πόνων ὁ μισθός. Ἀπαθοῦς μὲν γὰρ οὔσης τῆς φύσεως, πόνον ἀκολουθεῖν οὐκ ἐνεδέχετο· πόνων δὲ οὐκ ὄντων, οὐδὲ μισθὸν ἐκδέχεσθαι ἐνῆν. Ὅλως δὲ τῆς φύσεως ἡμῖν θνητῆς κατασκευασθείσης διὰ τὸ μὴ τῷ φρονήματι ἐπαιρομένους μείζονα φαντάζεσθαι περὶ ἑαυτῶν, καὶ ὥστε μὴ σφόδρα ἀμετραίνειν εἰς τὴν ἁμαρτίαν, τῶν λογισμῶν ἡμῖν ὑπὸ τῆς θνητότητος ταπεινουμένων, ἀναγκαῖον ἦν καὶ τὰ πάθη κρατεῖν, οὐ μόνον καθὸ ἕπεσθαι τοῦτο ἀνάγκη τῇ φύ-

σει θνητῇ κατασκευασθείσῃ, ἀλλὰ καὶ καθὸ ὑπόμνησις ὄντα τοῦ θανάτου **237** τὴν ὠφέλειαν μείζονα ἐνεργάζεσθαι ἠδύνατο. Εἰ γὰρ νῦν, τῶν παθῶν διοχλούντων, πολλοὶ τῶν ἀνθρώπων οὕτω τὰ ἄτοπα διαπράττονται ὡς οὐδεμίαν ἔχοντες ἐνθύμησιν τοῦ θανάτου, πολλῷ δήπουθεν τούτων ἀπηλλαγμένοι οὐδέποτ' ἂν εἰς νοῦν ἐβάλοντο τοῦ θανάτου τὴν μνήμην.

Τὸ δέ γε διαφόρως ζῆν τοὺς ἀνθρώπους κατὰ τὰς γενεὰς ϡλ΄, γενεῶν εἰ τύχοι τῶν πρὸ τοῦ κατακλυσμοῦ γεγονότων, ρ΄ δὲ ο΄ τῶν ἐπὶ τοῦ Ἀβραάμ, καὶ τῶν μετ' αὐτὸν ρ΄ καὶ ι΄ καὶ εἰ βραχύ τι πλέον, οὐδὲν τῷ νοήματι λυμαίνεται. Πανταχόθεν γὰρ δῆλον ὅτι οὐδὲ οἱ κατὰ τὴν αὐτὴν γενεὰν ἴσον ἔζων τὸν ἀριθμόν, ὅπερ οὐκ ἂν ἦν εἰ ὁ Θεὸς ἑκάστῳ τὴν ζωὴν ἐμέτρει· πάντως γὰρ ἂν τοῖς κατὰ τὴν αὐτὴν γενεὰν ἐφύλαξε τὴν ἰσότητα. Κατὰ γὰρ τὰς γενεὰς διάφορον ἔθηκε τῆς ζωῆς τὸν ἀριθμόν, τοῖς μὲν ἐν ἀρχῇ προσθήκην παρέσχεν ἐτῶν ὥστε πλεονάσαι τῇ πολυτεκνίᾳ, ἐπὶ μακρὸν βιούντων τῶν ἀνθρώπων· προστιθεμένοις δὲ ἠλάττωσεν εἰκότως τὰ ἔτη, ἢ τάχα καὶ αὐτὴ ἡ φύσις **238** ἀσθενεστέρα ἑαυτῆς τῷ χρόνῳ γιγνομένη ἐπ' ἔλαττον διαρκεῖν ἰσχύει.

Καὶ ταῦτα μέν, ἐπειδήπερ ζητεῖται παρὰ τοῖς πολλοῖς πῶς ἔχειν προσήκει περὶ τούτου, — πρὸς ἀπόδειξιν τοῦ μὴ ὑπὸ Θεοῦ ἑκάστῳ τῶν ἀνθρώπων μετρεῖσθαι τὸν τῆς ζωῆς χρόνον πλειόνων ὄντων τῶν δυναμένων ἄτοπον δεῖξαι τὸ πρᾶγμα —, συντόμως εἰρήσθω, οὐκ ἀκαίρως παρεντεθέντα ἢ ἐκτὸς εἶναι δοκεῖ τῆς ἑρμηνείας τῶν ῥητῶν τοῦ ψαλμοῦ. Προσεκτέον δὲ λοιπὸν καὶ τῇ τῆς ἑρμηνείας ἀκολουθίᾳ.

«Παλαιστάς» δὲ οὐχ, ὥς τινες ᾠήθησαν, λέγει ὅτι εἰς τὸ παλαίειν μετεσκεύασας, — οὕτω γοῦν τινες οἰηθέντες εἰς μέγεθος μυθολογίας ἐξηνέχθησαν, ἀλλ' ἐπειδὴ παλαιστὴ λέγεται μέτρον τι διὰ τῆς χειρὸς γινόμενον ἐν ταῖς τῶν ἱματίων ὑφαῖς παρὰ τῶν γυναικῶν, τοῦτο ἠβουλήθη εἰπεῖν ὅτι τὴν ζωήν μου ὥσπερ μέτρῳ τινὶ ὑφήνας, οὐχ ἁπλῶς ἀόριστον αὐτὴν πεποίηκας, ἀλλ' ὅροις χρόνων αὐτὴν ὑπέβαλες.

«Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου»

Οὕτως οὖν, φησίν, ἐμέτρησάς μου τὴν ζωήν, ὥστε τὴν **239** ἐμὴν ὕπαρξιν καὶ σύστασιν μηδὲν λελογίσθαι ἀντικρύ σου, τουτέ-

στι πρὸς τὸ ἄπειρον τῆς σῆς ζωῆς ἡ ἐμὴ ὑπόστασις οὐδὲν ἐν τοῖς οὖσι λελόγισται. Δῆλον δὲ ἐκ τούτου ὅτι καὶ τό «Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου»[1] κατὰ τὸ ὀλιγοχρόνιον εἶπεν, οὐχ ὡς τοῦ Θεοῦ μετρήσαντος ἑκάστῳ ἀνθρώπῳ τὸν τῆς ζωῆς χρόνον.

«Πλὴν τὰ ἅπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν»

Τό «πλήν» οὐδαμοῦ κατὰ ἀκολουθίαν διανοίας κεῖται ἐν τοῖς ψαλμοῖς, ἀλλὰ πανταχοῦ πρόσκειται περιττόν, ἀπὸ τοῦ ἑβραϊκοῦ ἰδιώματος ἴσως προσριφέν, ὡς καὶ τὸ σὺν ἐν τῷ ἑβραϊκῷ ἀπό τινος ἰδιώματος πρόσκειται, οὐκ εἰς διάνοιαν συντελοῦν. Τοῦτο γοῦν βούλεται εἰπεῖν, ἀκολούθως τῷ «καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου», ὅτι οὐ μόνον, φησίν, ἐν συγκρίσει σῇ τὸ μηδὲν ἐγώ, ἀλλὰ καί «ἅπαντα τὰ ἐν τῷ βίῳ τούτῳ ματαιότης καὶ πᾶς ἄνθρωπος ζῶν».

Πάντα, φησίν, εἰκαῖα τὰ ἐν τῷ βίῳ πράγματα καὶ αὐτὸς ὁ ἄνθρωπος, ὅμοιον δέ ἐστι τῷ τοῦ Ἐκκλησιαστοῦ «Ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης. Τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον;»[2].

7 «Μέντοιγε ἐν εἰκόνι καὶ γραφῇ διαπορεύεται ἄνθρωπος»

240 Ἀμέλει, φησίν, οἱ ἄνθρωποι ὡς «ἐν εἰκόνι τινὶ καὶ γραφῇ»[3] οὕτω καθεστήκασιν. Ὥσπερ γὰρ ἐν τῇ γραφῇ, φησί, δοκεῖ μὲν τὸ σχῆμα τοῦ στρατιώτου ἢ τοῦ βασιλέως ἐκπλήττειν τῇ θέᾳ, βραχεῖα δὲ ἀλοιφὴ πάντα διαλύει, οὕτω καὶ οἱ ἄνθρωποι τῷ σχήματι δοκοῦμεν καταπλήττειν ὥσπερ ἐν τῇ εἰκόνι, ὁ δὲ θάνατος ἐλθὼν καὶ διαλύσας τὸ ἐπικείμενον σχῆμα ἐλέγχει μάταια πάντα καὶ περιττά. Τὸ γάρ «ἐν εἰκόνι» οὐχ, ὥς τινες ἐνόμισαν, τῇ τοῦ Θεοῦ λέγει· ἐπεὶ εἰ «ἐν εἰκόνι» Θεοῦ ἔλεγε, πῶς ἐπήγαγε «πλὴν μάτην ταράσσεται», πῶς δὲ καὶ προέλεγε ματαιότης πᾶς ἄνθρωπος ζῶν;

«Πλὴν μάτην ταράσσεται»

Ὁμοίως κἀνταῦθα τό «πλήν» περιττὸν ὡς εἰς διάνοιαν.

Ἐπειδὴ τοίνυν, φησίν, ὡς ἐν γραφῇ καὶ σχήματι ψιλῷ τῷ βίῳ τούτῳ καθεστήκαμεν, δῆλον ὅτι περιττὸν καὶ ἀνωφελῆ πόνον ὑφι-

1. Ψαλ. 38,6. **2.** Ἐκκλ. 1,2-3. **3.** Ψαλ. 38,7.

στάμεθα τῶν ἐν τῷ βίῳ πραγμάτων ἕνεκεν πονοῦντες. Τὸ δέ «ταράσσεται» εἶπεν ἐμφαντικώτερον, τὸ μάταιον τῶν πόνων δεικνὺς ἐκ μεταφορᾶς τῶν ὀρνίθων, ἅπερ σφαγέντα ταράσσει τοὺς πόδας εἰς οὐδὲν ὄφελος. Διὰ τί οὖν μάτην «ταράσσεται»;

«Θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά»

Ἐπειδὴ κἂν πλεῖστα συναγάγωσιν ἀπὸ τῶν πόνων ἑτέροις κοπιῶσι πολλάκις, οἷς οὐκ ἴσασι, μετὰ τὸν ἐκείνου θάνατον ἑκάστου διαρπάζοντος τὰ κτηθέντα κατὰ δύναμιν καὶ μετὰ πολλῶν αὐτῷ συναθροισθέντα τῶν πόνων. Δεικνὺς ὃν ὑφίστανται πάντες ἄνθρωποι ὑπὲρ τῶν ἐν τῷ βίῳ πραγμάτων, ταύτῃ τῇ ἀκολουθίᾳ τῆς διανοίας χρησάμενος ἐν ὅλῳ τῷ ψαλμῷ, ἐσπούδασα, φησί, φυλάξασθαι τοῦ φθέγξασθαί τι ἄτοπον, ἀλλὰ νικώμενος πάλιν ἀπὸ τῶν γινομένων εἰς ἀγανάκτησιν ἐκινούμην· δεδιὼς οὖν τὸ ἁμαρτάνειν καὶ τὰς περιστάσεις τῶν πραγμάτων ὑφορώμενος, ηὐξάμην γνῶναι τὸ τέλος τῆς ζωῆς, εἰδὼς ὅτι καὶ ὁ χρόνος τῆς ζωῆς ἡμῶν ὀλίγος σφόδρα καθέστηκε, καὶ ἅπαντα τὰ ἐν τῷ βίῳ νομιζόμενα μεγάλα καὶ περιττά, καὶ μάταιος ὁ ὑπὲρ τούτων πόνος. Καὶ οὐδέν, φησίν, ὄφελός μοι κἂν ζήσας ἐν βασιλείᾳ ἐξετασθῆναι δυνηθῶ, **241**
βαρὺ δὲ τὸ ἁμαρτεῖν, ὃ δέδοικα μὲν μὴ ὑπὸ τῆς τῶν γιγνομένων ἀνάγκης περιπέσω καὶ μὴ βουλόμενος, τὴν δὲ ἀπαλλαγὴν ἁπάντων κρίνω μακαριστοτέραν.

8 «Καὶ νῦν τίς ἡ ὑπομονή μου; Οὐχὶ ὁ Κύριος;»

Ἐπειδή, φησίν, οὕτως οὐδαμινὰ τὰ ἐν τῷ βίῳ καὶ εὐτελῆ, ἐδοκίμασα εἴς σε πᾶσαν ἔχειν τὴν προσδοκίαν. Καλῶς δὲ τοῦτο εἶπεν ὁ μακάριος Δαβὶδ ἐπειδὴ ὁ Σαοὺλ[1] δῆλος ἦν μηδεμίαν ἔχων εἰς Θεὸν προσδοκίαν, ὅπου γε ἐδίωκε τὸν Δαβὶδ βασκαίνων καὶ δεδιὼς μὴ τὴν βασιλείαν αὐτοῦ ἀφέληται, — καὶ ταῦτα παρὰ τοῦ Θεοῦ αὐτὴν εἰληφώς —, δέον πιστεύειν ὅτι πάντως ὁ δεδωκὼς καὶ φυλάξει ἀξίῳ καθεστῶτι τοῦ ταύτης ἀπολαύειν, ὥσπερ καὶ τὸ ἐναντίον ἄξιον οὐκ ὄντα πάντως αὐτὴν ἀφαιρήσεται.

---

1. Α' Βασ. 18,1-16.

«Καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν»

Παρ' οὗ γὰρ ἔχω τὸ ὑφεστάναι[1], εἰκότως καὶ τὴν βοήθειαν προσδοκῶ παρ' αὐτοῦ. Αἰτῶ δέ, φησίν, οὐ πλοῦτον καὶ βασιλείαν· περιττὰ γάρ μοι ταῦτα ἅπαξ ἅπαντα καταφαίνεται καὶ οἶδα τῆς τούτων περιουσίας τὸ ἀνωφελές. Ἀλλὰ τί;

9 «Ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με»

Τῶν ἁμαρτιῶν, φησί, παράσχου μοι τὴν συγχώρησιν[2], ἵνα ἔχω τὴν πρός σε παῤῥησίαν· τούτου γὰρ οὐδὲν κρίνω μακαριώτερον.

«Ὄνειδος ἄφρονι ἔδωκάς με»

Διὰ γὰρ ταύτας, φησί, τὰς ἁμαρτίας οἶδα πάσχων ἃ πέπονθα καὶ ὄνειδος ἐκ τούτου τοῖς ἄφροσι γεγονώς. Ὥσπερ δὲ ἄνω ἁμαρτωλὸν τὸν ἐπιβουλεύοντα ἐκάλεσεν ἀδίκως τοῦτο διαπραττόμενον, οὕτως καὶ ἐνταῦθα τοὺς ὄνειδον καὶ γέλωτα τιθεμένους αὐτὸν ἐφ' οἷς ἔπασχεν ἀδίκως, δέον συναλγεῖν καὶ ἀθυμεῖν, ἄφρονας εἰκότως, ἐκάλεσεν, οὐκ ἀπὸ τοῦ εὐλόγου συνέσει κρίνοντας τὰ γινόμενα, ἀλλὰ ἀφρόνως χλευάζοντας διὰ τὰ συμβαίνοντα.

10 «Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι αὐτὸς ἐπήγαγες»

242 Ἐγὼ ὀνειδιζόμενος, φησίν, καὶ χλευαζόμενος οὐδὲ ἀπεκρινάμην τοῖς χλευάζουσιν, ἀλλ' ὡς οὐδὲ ἀκούων τῶν λεγόντων οὕτω σιγῶν διετέλουν, δικαίως πάσχειν ἡγούμενος, ἐπειδὴ «αὐτός» μοι ταῦτα «ἐπήγαγε»[3], οὐκ ἂν οἰηθείς ποτε ἀδίκως τι ἐπάγεσθαι παρά σου. Τὸ δέ «ὅτι αὐτὸς ἐπήγαγες», τουτέστι παθεῖν συνεχώρησας· τοῦτο γὰρ ἰδίωμα τῆς Γραφῆς τὸ τῷ Θεῷ τὴν πρᾶξιν ἐπιγράφειν ὧν συνεχώρησε, δυνάμενος ἐπισχεῖν. Διὰ τοῦτο οὖν, φησίν, ἀξιῶ τῶν ἀνομιῶν ῥυσθῆναι, ἐπειδὴ ταῦτα ἃ πέπονθα οἶδα διὰ τὰς ἁμαρτίας πεπονθώς. Καὶ μηδεὶς θαυμαζέτω εἰ ἁμαρτιῶν ἀξιοῖ ῥυσθῆναι ὁ μακάριος Δαβίδ· οὐ γὰρ ὡς εἶχεν ἐν τῷ βίῳ τὰ κατ' αὐτὸν οὕτως καὶ αὐτὸν ἔδει οἴεσθαι περὶ αὐτοῦ. Ἡ δὲ τοῦ δικαίου ἀπόδειξις, ὅτι οὐκ ἐκ τοῦ πάσχειν ἀγεννῶς διατιθέμε-

1. Πρβλ. Ψαλ. 38,8. **2.** Πρβλ. Ψαλ. 38,9. **3.** Ψαλ. 38,10.

νος ἐπὶ ἐκφωνήσεις ἀπρεπεῖς ἐξεφέρετο, καίτοι δίκαιος ὤν, ἀλλ' ἑαυτῷ τῶν γινομένων ἐπέγραφε τὴν αἰτίαν ὡς ἐκ τῶν οἰκείων πράξεων ταῦτα πάσχων δικαίως, οὐκ ἂν τοῖς κακοῖς ἀδίκως ἡγούμενος ἐναφεθῆναι παρὰ τοῦ Θεοῦ, ὡς καὶ ἡ Γραφή φησι· «Δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ»[1].

11 «Ἀπόστησον ἀπ' ἐμοῦ τὰς μάστιγάς σου»

Παῦσον δή, φησί, καὶ τὴν τιμωρίαν τὴν κατ' ἐμοῦ, «μάστιγας»[2] τοῦ Θεοῦ καλῶν τὰ κατὰ συγχώρησιν αὐτοῦ γινόμενα εἰς αὐτόν. Ὅταν γάρ με τούτων ἀπαλλάξῃς, τότε οἶδα καὶ τῶν ἁμαρτιῶν ἐσχηκὼς τὴν ἄφεσιν.

«Ἀπὸ τῆς ἰσχύος τῆς χειρός σου ἐγὼ ἐξέλιπον»

Διὰ γὰρ τὸ βαρὺ τῆς τιμωρίας ἀνηλώθην ἐγώ, ὥστε δικαίως αἰτῶ τὴν συγχώρησιν καὶ τὴν ἀπαλλαγὴν τῶν κακῶν, ἐπειδὴ ἱκανὰ ἅπερ ὑπέστην.

12 «Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον»

Καὶ γὰρ οὐκ ἐμὲ μόνον φησίν, ἀλλὰ καὶ πάντα ἄνθρωπον παιδεύεις, ἐλέγχων ὑπὲρ τῆς ἁμαρτίας. Τὸ γάρ «ὑπὲρ ἀνομίας»[3], ἀντὶ τοῦ διὰ τὰς ἀνομίας —, οὐχ, ὥς τινες ἐνόμισαν, ὑπὲρ τὰς ἀνομίας, ὅτι πλέον τῶν ἁμαρτιῶν παιδεύει· τοῦτο γὰρ οὐ πρέπον ἐπὶ Θεοῦ νοεῖσθαι. Καὶ τό «ἐπαίδευσας», ἀντὶ τοῦ παιδεύσεις, ἐναλλαγὴ χρόνου ἐκ τῆς ἑρμηνείας ἐγγενομένη. Οὕτω γοῦν λέγει Σύμμαχος, 'ἐν ἐλεγμοῖς διὰ κακίαν παιδεύεις ἄνθρωπον'.

«Καὶ ἐξέτηξας ὡσεὶ ἀράχνην τὴν ψυχὴν αὐτοῦ»

243 Καὶ οἶδας, φησί, τοὺς ἡμαρτηκότας τιμωρίᾳ περιβάλλων οὕτως αὐτῶν διαλύειν τὴν ζωὴν «ὡσεὶ ἀράχνην», ἧς οὐδὲν μνημόσυνον λυθείσης περιλιμπάνεται. Ταῦτα δὲ ἀπέδωκε πρὸς τό «ἀπὸ πασῶν τῶν ἀνομιῶν μου ῥῦσαί με». Τοῦτο γάρ, φησίν, αἰτῶ παρά σου, — ἐπειδὴ καὶ ἃ πέπονθα διὰ τοῦτο οἶδα πεπονθώς, καὶ πάντως ὁ ἡμαρτηκὼς δίδωσι δίκας ὑπὲρ τῆς ἁμαρτίας —, διὰ τοῦτο

---

1. Παρμ. 18,17. **2.** Ψαλ. 38,11. **3.** Ψαλ. 38,12.

τῶν ἁμαρτιῶν ἀξιῶ ῥυσθῆναι· οἶδα γὰρ ὅτι τότε μοι παυθήσεται τὰ κακά.

«Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος»

Ἔδει τοίνυν, φησί, περὶ ταῦτα ἔχειν καὶ περὶ ταῦτα ἀσχολεῖσθαι, — περὶ τὸ τῶν ἁμαρτιῶν ῥυσθῆναι καὶ περὶ τὸ τῆς σῆς τυχεῖν καταλλαγῆς, ἀφ' ἧς πάντως καὶ τὰ λυπηρὰ λύεσθαι πέφυκε, — καὶ μὴ περὶ ἕτερα πονεῖν, ἅπερ μάταια καὶ ἀνωφελῆ τῷ πονοῦντι καθέστηκεν, οὐδαμῶς τέλος αὐτῷ τῶν πόνων παρεχόμενα, οὔτε μὴν ὠφέλειαν μόνιμον αὐτῷ διὰ τῶν πόνων χαριζόμενα. Καὶ τοῦτο εἰρηκὼς πάλιν ἀναλαμβάνει τὸν οἰκεῖον λόγον καί φησιν·

13 «Εἰσάκουσον τῆς προσευχῆς μου καὶ τῆς δεήσεώς μου»

Ἐγὼ τοίνυν τοῦτο αἰτῶ παρά σου, τὸ εἰσακουσθῆναί μου τὴν προσευχήν[1].

«Ἐνώτισαι τῶν δακρύων μου, μὴ παρασιωπήσῃς»

Καὶ τὸ τὰ δάκρυά μου μὴ παροφθῆναι. Διὰ τί; Ἐπειδή, φησί, βραχύς ἐστιν ὁ βίος καὶ ὥσπερ ἐν ἀλλοτρίοις ἐσμὲν παροικοῦντες πρὸς βραχύ, εἶτα μεθιστάμενοι καὶ ὡς ἐπιδεδημηκότες πρὸς βραχύ, εἶτα ἐκδημοῦντες· οὕτως γὰρ καὶ οἱ πρὸ ἐμοῦ πάντες πρὸς βραχὺ ζήσαντες μετῆλθον ἐντεῦθεν.

14 «Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν καὶ οὐκέτι οὐ μὴ ὑπάρξω»

Ἀξιῶ τοίνυν, φησίν, ἐν τῇ βραχείᾳ ταύτῃ ζωῇ ἄνεσίν μοι γενέσθαι καὶ ἀνάπαυσιν τῶν κακῶν, ἵνα δυνηθῶ ἐν βραχείᾳ ἀνέσει καταστῆναι καὶ ἐν τῷ βίῳ τούτῳ πρὶν ἀπελθεῖν· τότε γάρ, οὐκέτι κατὰ τὴν ζωὴν ταύτην ὤν, οὐδὲ χρῄζω λοιπὸν τῆς ἐνταῦθα ἀνέσεως.

244 Τὸ γὰρ «οὐκέτι οὐ μὴ ὑπάρξω»[2] οὐχ εἰς τὸ παντελὲς λέγει, ἀλλ' ὡς πρὸς τὴν ζωὴν ταύτην, ἐν ᾗ τυχεῖν ἀνέσεως προσεύχεται.

---

1. Ψαλ. 38,13. **2.** Ψαλ. 38,14.

Ψαλμὸς 39

Ἐνταῦθα προφητεύει τὰ κατὰ τὸν λαὸν αἰχμαλωτισθέντα ὑπὸ τῶν Βαβυλωνίων βασιλέων, ἐκ προσώπου μὲν τοῦ ἐκείνων φθεγγόμενος ὡς εὐχαριστούντων ἐπὶ τῇ ἀπαλλαγῇ τῆς αἰχμαλωσίας, ἐν δὲ τῷ φθέγγεσθαι τὰ ἐκείνοις ἁρμόττοντα δεικνὺς ὅτι ἐν συμφοραῖς καθεστὼς καὶ τὴν παρὰ τοῦ Θεοῦ προσδοκίαν ἀναμένων πάντως τυγχάνει τῆς παρ' αὐτοῦ βοηθείας. Μακαρίζει τε ἐντεῦθεν ἅπαντας τοὺς πάσης μὲν ἐκτόπου πράξεως καθαρεύειν ἐσπουδακότας, ἐλπίζοντας δὲ ἐπὶ τὸν Θεὸν ὡς πάντως τυγχάνοντας τῶν παρ' αὐτοῦ ἀγαθῶν.

[669] Καὶ ἐν τούτῳ προφητεύει τὰ κατὰ τὸν λαὸν ὡσανεὶ αἰχμαλωτισθέντα ὑπὸ τοῦ Βαβυλωνίου βασιλέως, καὶ ἐκ τοῦ ἐκείνων προσώπου φθέγγεται εὐχαριστῶν τῷ Θεῷ, ὡς μελλόντων αὐτῶν ἀπαλλαγήσεσθαι τῆς αἰχμαλωσίας· διδάσκων ὡς ἐὰν ἐν ταῖς συμφοραῖς ἐπὶ τὸν Θεὸν θῶνται τὴν ἐλπίδα, δυνήσονται ῥυσθῆναι τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν. Ἔπειτα καὶ μακαρίζει τοὺς ἐν ταῖς συμφοραῖς ἐξετασθέντας, πάσης δ' ἐκτὸς γεγονότας ἐκτόπου πράξεως, καὶ τοῦ Θεοῦ ἠρτημένους ὥσπερ αὐτοῦ τευξομένους μόνου βοηθείας.

2 «Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι»

Ἰδίωμα καὶ τοῦτο τῆς θείας Γραφῆς ὅταν τὴν ἐπίτασιν δεικνύναι θέλει τοῦ γινομένου, ὡς ὅταν λέγῃ «παιδεύων ἐπαίδευσεν»[1] ἀντὶ τοῦ σφόδρα ἀληθῶς ἐπαίδευσεν, οὕτως καὶ τό «ὑπομένων ὑπέμεινα»[2] ἀντὶ τοῦ σφόδρα ὑπέμεινα τὸν Κύριον· τῇ δὲ ἐπι**245**τάσει τῆς ὑπομονῆς ἐχρήσατο πρὸς τὸ δεῖξαι τῆς αἰχμαλωσίας τὴν ἐπίτασιν, ὑφ' ἧς οὐ παρεσαλεύθη τῆς ἐπὶ τὸν Κύριον ὑπομονῆς. Εἰ καὶ ἐπὶ πολὺ τοίνυν, φησίν, ὑπέμεινα, ὅμως οὐκ ἀπέτυχα, ἀλλά «καὶ προσέσχε μοι», τουτέστι ἐφρόντισέ μου.

«Καὶ εἰσήκουσεν τῆς δεήσεώς μου»

Καὶ φροντίσας προσεδέξατό μου τὰς αἰτήσεις. Εἶτα τί πεποίηκεν;

---

1. Ψαλ. 117,18. **2.** Ψαλ. 39,2.

3 «Καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας»

Καὶ ὥσπερ ἐν λάκκῳ βαθυτάτῳ, τῷ πλήθει καὶ τῷ μεγέθει τῶν κακῶν ἐξ ὧν ἐταλαιπώρουν, καθεστῶτα ἐξέσπασε τῇ ἑαυτοῦ βοηθείᾳ· «λάκκον» γάρ «ταλαιπωρίας»[1] ἐκάλεσε τὰ κατὰ τὴν αἰχμαλωσίαν κακά, διὰ τὸ δυσανάγωγον καὶ δυσαπάλλακτον τὸ ἐξ' αὐτῶν.

«Καὶ ἀπὸ πηλοῦ ἰλύος»

«Πηλὸν ἰλύος» τὸ αὐτὸ καλεῖ διὰ τὸ δυσέκσπαστον καὶ καθεκτικόν, τῇ διαφορᾷ τῶν προσηγοριῶν τὸ διάφορον τῶν κακῶν σημαίνων τῶν κατὰ τὴν αἰχμαλωσίαν· διὰ τοῦτο εἶπε «πηλοῦ ἰλύος», ἐπειδὴ μάλιστα δυσαπόσπαστός ἐστιν ὁ τοιοῦτος πηλός, ὁ ἀπὸ ἐπιφορᾶς ποταμῶν ἀποτελούμενος. Ταῦτα οὖν μοι, φησί, παρέσχεν εἰσακούσας μου τῆς δεήσεως· δῆλον γὰρ ὅτι τοῦτο ηὔχετο τῆς αἰχμαλωσίας τὴν ἀπαλλαγὴν καὶ τὴν ἐπὶ τὰ κρείττω μεταβολήν.

«Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου»

Καὶ ἀπαλλάξας, φησί, τῶν τοσούτων κακῶν, ἐν ἀσφαλείᾳ με κατέστησε βεβαίᾳ· ἀσάλευτον γὰρ καὶ ἀμετάθετον ἡ πέτρα.

«Καὶ κατηύθυνε τὰ διαβήματά μου»

᾿Ακύλας· 'καὶ ἥδρασε τὰ βήματά μου', ἀντὶ τοῦ ἐν βεβαιότητί με κατέστησεν, ὥστε μὴ δεδοικέναι πάλιν μετανάστασιν.

4 «Καὶ ἐνέβαλε εἰς τὸ στόμα μου ᾆσμα καινόν»

Τὸ ἐπὶ τῇ ἐπανόδῳ, ὅπερ οὐκ ἦσαν πρότερον ᾄσαντες διὰ τὸ ἐν αἰχμαλωσίαις τὸν οἰκεῖον διατετελεκέναι βίον. «᾿Ενέβαλεν» οὖν «εἰς τὸ στόμα τὸ ᾆσμα»[2], ἐν τοιούτοις αὐτοὺς καταστήσας ἀφ' ὧν ἔμελλον ᾄδειν ᾄσματα εὐφροσύνης γέμοντα. Οἷον δὲ τὸ ᾆσμα;

«῞Υμνον τῷ Θεῷ ἡμῶν»

246 Περιέχοντα ἐγκώμια τοῦ εὐηργετηκότος ἡμᾶς Θεοῦ.

«῞Οψονται πολλοὶ καὶ φοβηθήσονται καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον»

᾿Εντεῦθεν, φησίν, ἐπὶ τῷ παραδόξῳ τῶν γεγονότων εἰς ἡμᾶς

---

1. Ψαλ. 39,3. 2. Ψαλ. 39,4.

πολλοὶ τῶν ἐκτὸς τὴν σὴν καταμαθόντες δύναμιν ἐπιγνώσονταί σε καὶ σπεύσουσι τὸ πρὸ τῶν ἄλλων ἁπάντων ἐλπίζειν εἴς σε, — ὅπερ καὶ γέγονεν ἐν τῇ ἐπανόδῳ. Διὰ γὰρ τὸ μέγεθος τῶν περὶ αὐτοὺς γεγενημένων θαυμάτων, ἱκανὴν λαβόντες τοῦ Θεοῦ τῆς δυνάμεως τὴν ἀπόδειξιν, πολλοὶ μὲν ἐπίστευσαν τῷ Θεῷ, τινὲς δὲ διὰ τὸ μέγεθος τῆς περὶ αὐτοὺς τιμῆς καὶ ὑπεκρίνοντο τὸν ἰουδαϊσμὸν μέχρι περιτομῆς.

5 «Μακάριος ἀνήρ, οὗ ἐστιν τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ καὶ οὐκ ἐνέβλεψεν εἰς ματαιότητας καὶ μανίας ψευδεῖς»

Καὶ ἤλπισαν δέ, φησί, δικαίως· ἀληθῶς γὰρ μακαριστὸς ὁ εἴς σε ἐλπίζειν καταξιούμενος καὶ μὴ ἀποβλέπων εἰς εἴδωλα, μηδὲ ἀσχολῶν τὸν ἑαυτοῦ λογισμὸν περὶ τὴν τούτων θρησκείαν. Τοῦτο δὲ εἶπεν ὡς αὐτῶν, ὅτε ἐκείνοις μὲν προσεῖχον πρότερον, οὐ μόνον οὐδὲν ὠφεληθέντων ἀλλὰ καὶ παραδοθέντων εἰς αἰχμαλωσίαν· ὅτε δὲ ἐκείνων ἀποστάντες ἐπέγνωσαν Θεόν, τότε καὶ τῆς κατεχούσης ἀπαλλαγέντων αἰχμαλωσίας καὶ ἐν εὐθηνίᾳ πλείστων ἀγαθῶν καταστῆναι δυνηθέντων. Τὴν δέ γε περὶ τὰ εἴδωλα θρησκείαν «ματαιότητα»[1] μὲν ἐκάλεσεν ὡς οὐδὲν ὄφελος τῷ πονοῦντι παρέχειν δυναμένων «μανίαν» δὲ ὡς οὐ καθεστῶτι λογισμῷ παρὰ τῶν πραττομένων ἐπιτελουμένην, καί «ψεῦδος» δὲ ὡς οὐδὲν ἀληθὲς ἢ βέβαιον κεκτημένου τοῦ περὶ αὐτῶν λόγου.

6 «Πολλὰ ἐποίησας σύ, Κύριε ὁ Θεός μου, τὰ θαυμάσιά σου»

Ὅτι γὰρ μακαριστόν, φησίν, ἡ εἴς σε ἐλπὶς καὶ τὸ ἀπηλλάχθαι τῆς τῶν εἰδώλων θεραπείας, ἐξ αὐτῶν ἐστιν ἰδεῖν πραγμάτων ἀφ' ὧν τὰ θαύματά σου[2] καὶ αἱ εὐεργεσίαι αἱ εἰς ἡμᾶς πλεῖσταί τινές εἰσι καὶ ὡς ἀληθῶς ἀνεκδιήγητοι.

«Καὶ τοῖς διαλογισμοῖς σου οὐκ ἔστιν τίς ὁμοιωθήσεταί σοι»

Ἀλλ' οὐδὲ δυνατόν, φησί, τοῖς βουλεύμασί σου τοῖς περὶ ἡμῶν ἰσωθῆναί τινα, τουτέστιν οἷς ἐβουλεύσω περὶ ἡμῶν εἰς εὐεργεσίαν.

«Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν»

247 Τοσαῦτα γάρ, φησί, τὰ θαυμάσιά σου τὰ εἰς ἡμᾶς γεγονό-

1. Ψαλ. 39,5. 2. Πρβλ. Ψαλ. 39,6.

τα, ὅτι καὶ πολλάκις αὐτὰ διηγησάμην καὶ πάλιν διηγήσομαι, καὶ ὅμως ὑπερεπλεόνασε τὴν διήγησιν ἀναρίθμητα ὄντα καὶ ἀνεκδιήγητα διὰ τὸ πλῆθος. Φανερώτερον δὲ ‹Σύμμαχος› λέγει· 'ἃ καὶ ἂν ἀπαγγέλλων καταγγέλλω, πλείω ἐστὶ τοῦ διηγηθῆναι'.

7 «Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας»

Διάφοροι ἦσαν ἐν νόμῳ αἱ θυσίαι· αἱ μὲν ὁλοκαυτούμεναι, αἱ δὲ ὑπὲρ εὐχαριστίας, αἱ δὲ ὑπὲρ ἁμαρτιῶν, αἱ δὲ συνήθως προσαγόμεναι καθ' ἑκάστην ἡμέραν, καὶ ἄλλαι πάλιν ἑτέρως· διὰ τοῦτο καὶ διαφόροις αὐτὰς ὀνομάζει ταῖς προσηγορίαις, «θυσίαν» λέγων «καὶ προσφοράν» καί «ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας»[1], διόλου τοῦτο εἰπεῖν βουλόμενος ὅτι θύματα οὐκ ᾔτησας παρ' ἐμοῦ, οὐδέ τι τοιοῦτον.

«'Ωτία δὲ κατηρτίσω μοι»

Τῇ δὲ ὑπακοῇ ἠρκέσθης τῇ ἐμῇ. Καλῶς δέ «κατηρτίσω» εἶπεν, ἐπειδὴ αὐτὸς ὁ Θεὸς διὰ τῆς κατὰ τὴν αἰχμαλωσίαν παιδείας εὐτρεπεῖς αὐτοὺς εἰργάσατο πρὸς τὴν ἰδίαν ὑπακοήν.

«'Ωτία» δὲ καλεῖ τὴν ὑπακοήν, ὡς καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ· ὁ «ἔχων ὦτα ἀκούειν ἀκουέτω»[2], ἀντὶ τοῦ ὁ πρόθεσιν ἔχων τοῦ ἀκούειν ἀκουέτω τῶν λεγομένων.

«Ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ᾔτησας»

'Αντὶ τοῦ οὐδὲν τοιοῦτον ᾔτησας παρ' ἐμοῦ τὸ σύνολον.

8 «Τότε εἶπον 'Ιδοὺ ἥκω»

῞Οτε τοίνυν, φησίν, ἐθεασάμην ὅτι τὴν συνείδησιν ζητεῖς καὶ τὴν τῆς ὑπακοῆς πρόθεσιν μόνον, οὔτε θυσίαν αἰτῶν οὔτε **248** ἕτερόν τι πρὸς τὸ ἀναγαγεῖν, τότε ἤλπισα καὶ προσεδόκησα ἐπανελεύσεσθαι, πρὸ τούτου οὐδεμίαν ἔχων προσδοκίαν ἐπειδὴ οὔτε εἶχον θυσίας πρὸς τὸ ἀναγαγεῖν. Πῶς γὰρ ἐν αἰχμαλωσίᾳ καὶ κινδύνοις καθεστώς, οὔτε δὲ ἔχων, ἠδυνάμην προσάγειν τοῦτό που, μακρὰν διάγων, ἐν ᾧ προσάγειν θεμιτὸν ἦν; Τοῦτο γὰρ ὁ νόμος ἠβούλετο, τὸ μὴ ἁπανταχοῦ προσάγεσθαι τῷ Θεῷ τὰς θυσίας, ἀλλὰ μᾶλλον ἐν τῷ ὄρει τῷ Σιών[3].

---

1. Ψαλ. 39,7. **2.** Ματθ. 11,15. **3.** Πρβλ. Δευτ. 11,29. 'Ιω. 4,20.

«Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ»

Εἶχον δέ, φησίν, ἀναμφίβολον τῆς ἐπανόδου τὴν προσδοκίαν, εἰς ἔννοιαν λαμβάνων καὶ τὰ ταῖς βίβλοις ἐγγεγραμμένα τῶν Προφητῶν προαγορευσάντων τὴν ἐπάνοδον. Ἀποβλέπων οὖν εἰς τὰς προῤῥήσεις καὶ πάλιν εὐχερῆ τοῦ βίου τὴν ἀγωγὴν ὁρῶν ἣν ἀπῄτεις, ὥστε οὕτω βιοῦντάς τε καὶ πράττοντας ἐπαναγαγεῖν, πανταχόθεν βεβαίαν τῆς ἐπανόδου προσεκτώμην τὴν ἐλπίδα.

Τὸ δέ «ἐν κεφαλίδι βιβλίου»[1] Ἀκύλας, 'ἐν εἰλήματι' λέγει· καὶ γὰρ τοιαῦται ἦσαν τὸ παλαιὸν παρ' Ἰουδαίοις αἱ βίβλοι ἐν εἰλητοῖς γεγραμμέναι.

Ταῦτα δὲ εἴρηται παρὰ τῷ μακαρίῳ Ἀποστόλῳ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ[2]· ὧν τινες τὸν τρόπον ἀγνοοῦντες, καθ' ὃν ὁ μακάριος Ἀπόστολος ἐχρήσατο τῇ μαρτυρίᾳ, οἴονται περὶ τοῦ Κυρίου εἰρῆσθαι τὸν ψαλμόν. Ὅσος δὲ κίνδυνος ταῦτα ὡς ἐκ προσώπου τοῦ Κυρίου ἐκλαμβάνειν, οὐ χαλεπὸν συνιδεῖν. Τίς γὰρ ἂν εἴποι ἐκ προσώπου τοῦ Κυρίου λέγεσθαι τό «ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος», καὶ τό «ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν» ἢ τό «ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν»[3]; Πῶς γὰρ οὐκ ἀτοπώτατον ὅλως τῆς ὑπάρξεως τῆς πατρικῆς ἔχοντα τὴν γνῶσιν ἀκριβῆ εἰς τὴν τῶν θυμάτων διήγησιν ἀνεφίκτως ἔχειν; Ὥστε τοῦτο μὲν παρὰ τοῦ μακαρίου Ἀποστόλου ἐκ προσώπου εἴρηται τοῦ Κυρίου, εἴρηται δὲ κατὰ ταύτην τὴν διάνοιαν.

249 Περὶ τῶν θυσιῶν τῶν ἐν Νόμῳ διαλεγόμενος ἐκεῖ καὶ ὅτι μὴ δυνατὸν ἄφεσιν ἁμαρτιῶν παρέχειν ἐκεῖνα τὰ θύματα, καὶ βουλόμενος δεῖξαι περιττὰς καὶ οὐκ ἀναγκαίας τὰς θυσίας τὰς ἐν Νόμῳ, κέχρηται ταύτῃ τῇ μαρτυρίᾳ τοῦ λαοῦ ἱκανῇ πρὸς ἀπόδειξιν τοῦ ὅτι κρείττων θυσίας ὑπακοὴ καὶ πολὺ τοῦτο διαπράττεσθαι ἀναγκαιότερον ἢ ἐκεῖνο, ἐξ ὧν οἱ ἐν αἰχμαλωσίᾳ καθεστῶτες οὔτε θυσίαν οὔτε ἕτερόν τι ἐπιδειξάμενοι, μόνον δὲ ἀκριβῆ τὴν ὑπακοὴν τὴν εἰς Θεὸν φυλάττοντες, ἔτυχον τῆς ἐπανόδου.

Εἰπὼν οὖν «ἀδύνατον αἷμα ταύρων καὶ τράγων ἀφελεῖν ἁμαρτίας, τότε ἐπάγει· Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει θυσίαν

---

1. Ψαλ. 39,8. **2.** Πρβλ. Ἑβρ. 10,4-7. **3.** Ψαλ. 39,4-6.

καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι»[1], ὑπαλλάξας τὰ ὠτία εἰς σῶμα, — ὃ καὶ ἡμῖν ἔθος ἐστὶ ποιεῖν, τὸ κεχρῆσθαι μὲν πολλάκις μαρτυρίαις πρὸς ἀπόδειξιν πραγμάτων, βραχὺ δέ τι ὑπαλλάττοντες διὰ τὴν χρείαν τοῦ λόγου. Ἐποιήσατο δὲ τὴν ὑπαλλαγήν, τοῦτο σημᾶναι βουλόμενος ὅτι, ὥσπερ ἐκεῖ τῆς ὑπακοῆς πληρουμένης οὐ θυσιῶν γέγονε χρεία, οὐχ ἑτέρου τινὸς τοιούτου, ἀλλ' εὐθὺς ἔτυχον τῆς ἐπανόδου τῆς αἰχμαλωσίας ἀπαλλαγέντες, οὕτω φησὶ καὶ ὁ Κύριος ἐκεῖνα μὲν ἅπαντα ἀνελεῖν, ἐν δὲ τῷ σώματι τῷ ἰδίῳ τὴν οἰκονομίαν τὴν περὶ ἡμῶν πληρώσας τῷ πάθει τοῦ οἰκείου σώματος, κοινήν, φησί, παρέσχετο τῆς ἁμαρτίας τὴν ἄφεσιν καὶ τῶν κακῶν τὴν ἀπαλλαγήν. Καὶ τὰ ἀκόλουθα δὲ πάντα κατὰ ταύτην λέγει τὴν ἔννοιαν, ὥστε ὁ μὲν μακάριος ἀπόστολος Παῦλος κάλλιστα ἐχρήσατο μαρτυρίᾳ πρὸς ἀπόδειξιν οὗπερ ἐχρήσατο. Οἱ δὲ μὴ μεμαθηκότες τοῦ Ἀποστόλου τὸν σκοπὸν καὶ τὴν διάνοιαν, τὸν μὲν ψαλμὸν ἠβουλήθησαν περιάψαι τῷ Χριστῷ, τὸ δέ «ὠτία κατηρτίσω μοι»[2] — οὕτω γὰρ καὶ τὸ ἑβραϊκὸν — ἀλλάξαντες τεθείκασι σῶμα δὲ κατηρτίσω μοι, οὐ προσεσχηκότες τῇ αἰτίᾳ τῆς ὑπαλλαγῆς τοῦ Ἀποστόλου.

9 «Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἐβουλήθην»

Θεασάμενος τοίνυν, φησίν, ὅτι τοῦτο ζητεῖς παρ' ἐμοῦ, τὴν ὑπακοήν, ἐδοκίμασα τοῦ λοιποῦ πᾶσαν θέσθαι σπουδὴν ὥστε τῆς σῆς ἐπιμελεῖσθαι εὐαρεστήσεως[3].

«Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς καρδίας μου»

Καὶ ὥστε τὰ σὰ προστάγματα ἔνδοθεν κατέχειν.

10 «Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ»

Καὶ ὥστε τῆς ἐπανόδου τυχὼν ἀεί σου τὴν εὐεργεσίαν ταύτην εἰς ἡμᾶς γενομένην ἐπὶ πάσης **250** ὁμοῦ τῆς συναγωγῆς ἐξαγγέλλειν, τότε μάλιστα ὅταν ἅπαντες ὦμεν κατὰ ταὐτὸν ἐπὶ τῆς οἰκείας συναθροιζόμενοι γῆς. Βούλεται δὲ εἰπεῖν, ὡς ἐκ τοῦ λαοῦ, ὅτι θεασάμενος ὡς ὑπακοή σοι καὶ συνείδησις ἀρίστη πάντων προτιμοτέρα, καὶ ταῦτα παροφθέντα μὲν τὴν ἀρχὴν ἐν τούτοις με κατέ-

---

1. Ἑβρ. 10,4-5. **2.** Ψαλ. 39,7. **3.** Πρβλ. Ψαλ. 39,9.

στησε τοῖς κακοῖς, πληρούμενα δὲ οἶδεν ἅπαντα ὁμοῦ παρασχεῖν τὰ καλά, ἐδοκίμασα ὥστε τοῦ λοιποῦ ἐπιτελεῖν μέν σου τὸ θέλημα, πολλὴν δὲ περὶ τὸν νόμον σου τὴν διάθεσιν ἔχειν, διατελέσαι δὲ καὶ μετὰ τὴν ἐπάνοδον ἐν ὕμνοις καὶ ᾠδαῖς τὴν ὑπὲρ τῶν δοθέντων εὐχαριστίαν ἀποπληρῶν.

Τὸ γὰρ «εὐηγγελισάμην» ἀντὶ τοῦ εὐαγγελίσομαι, συνήθως τὸν χρόνον ἐναλλάξας. Ἐπάγει οὖν περὶ τοῦ αὐτοῦ λέγων· «ἰδοὺ τὰ χείλη μου»[1]. «Δικαιοσύνην» ἐκάλεσε τὴν εὐεργεσίαν, καθ' ἣν ἐπανήγαγεν αὐτούς, ὡς δικαίως νῦν μάλιστα τοιαῦτα προῃρημένους ἀνάγοντος τοῦ Δεσπότου.

«Ἰδοὺ τὰ χείλη μου οὐ μὴ κωλύσω»

Οὐ καθέξω τοίνυν «τὰ χείλη μου» εἰς τὴν διήγησιν τῶν θαυμάτων, τουτέστι παρασκευάσω αὐτὰ συνεχῆ ποιεῖσθαι τὴν ἐξήγησιν. Εἰ δὲ ἦν τό «εὐηγγελισάμην» ἐπὶ παρεληλυθότος, πῶς τό «κωλύσω» ἑξῆς ἐπήγαγε, μέλλοντος ὄντος; Ἡ ἐναλλαγὴ τοῦ χρόνου ἐκ τῆς ἑρμηνείας γεγένηται.

10-11 «Κύριε, σὺ ἔγνως τὴν δικαιοσύνην μου»

Οἶδας δέ, φησίν, αὐτὸς ὅτι πάντων ἕνεκεν ὧντε ἐδοκίμασα ἐπιμελεῖσθαι, καὶ ὧν περὶ τὴν φυλακὴν ἔχειν ἔκρινα μετὰ τὴν ἐπάνοδον, δίκαιόν με τῆς παρά σου εὐεργεσίας ἀπολαύσαντα τυχεῖν τῆς ἐπανόδου, — «δικαιοσύνην» ἐνταῦθα συνήθως καλῶν τὸ δικαίως μέλλειν τοῦ πράγματος ἀπολαύειν.

11 «Τὴν δικαιοσύνην μου οὐκ ἔκρυψα ἐν τῇ καρδίᾳ μου»

Ἀντὶ τοῦ οὐ κρύψω· ἀπολαύσας γὰρ τῆς παρά σου δωρεᾶς, οὐ κρύψω παρ' ἐμαυτῷ τὴν χάριν, — πάλιν ὁμοίως «δικαιοσύνην»[2] αὐτὴν καλῶν διὰ τὴν προειρημένην αἰτίαν. Οὐ κρύψεις οὖν, ἀλλὰ τί ποιήσεις;

«Τὴν ἀλήθειαν σου καὶ τὴν σωτηρίαν σου εἶπον»

Ἐρῶ καὶ ἐξηγήσομαι πολλάκις τὴν παρασχεθεῖσαν ἡμῖν παρά σου σωτηρίαν. Τὸ γάρ «εἶπον» ἀντὶ **251** τοῦ ἐρῶ. Συνηθῶς δὲ

1. Ψαλ. 39,10. 2. Ψαλ. 39,11.

κἀνταῦθα τῇ σωτηρίᾳ τὴν ἀλήθειαν συνέζευξε, δεικνὺς τὸ ἀληθὲς καὶ βέβαιον τῆς εὐεργεσίας.

«Οὐκ ἔκρυψα τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου ἀπὸ συναγωγῆς πολλῆς»

Τὸ αὐτὸ πάλιν ἑτέρως λέγει. Πολλῶν δέ, φησίν, ἐπὶ τὸ αὐτὸ συνηγμένων, ἐξηγήσομαι τῶν σῶν ἀγαθῶν. Τὸ γὰρ αὐτό «δικαιοσύνην» καλεῖ καί «ἔλεος» καί «σωτηρίαν», — δικαιοσύνη μέν, ὅτι κάλλιστα προελομένοις δικαίως παρέξεις τὴν χάριν· ἔλεος δέ, ὅτι τοῦτο φιλανθρωπίᾳ μᾶλλον ἢ κατὰ τὴν αὐτῶν ἀξίαν παρέχειν, ἀμνησικακῶν ἐπὶ τοῖς προλαβοῦσι· σωτηρίαν δὲ ὡς ἐπικειμένων ἀπαλλάττοντος κινδύνων.

12 «Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ»

Οὐκοῦν, φησίν, ἐπειδὴ ταῦτα ποιεῖν ἑτοίμως ἔχω, μὴ ὑπέρθῃ τοῦ ταχείαν ποιήσασθαι τὴν εἰς ἡμᾶς φιλανθρωπίαν.

«Τὸ ἔλεός σου καὶ ἡ ἀλήθειά σου διὰ παντὸς ἀντελάβοντό μου»

Διηνεκῆ δέ μοι μᾶλλον τὴν φιλανθρωπίαν σου ἐκείνην τὴν ἀληθῆ καὶ βεβαίαν παράσχου. Τὸ γὰρ ἀντελάβετο[1] ἀντὶ τοῦ ἀντιλάβοιτο, ἐναλλαγὴ χρόνου ἀπὸ τῆς ἑρμηνείας ἐγγενομένη.

13 «Ὅτι περιέσχον με κακά, ὧν οὐκ ἔστιν ἀριθμός»

Καὶ γὰρ ἀναρίθμητον τῶν κακῶν τὸ περιεσχηκός[2] με πλῆθος.

«Κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνάσθην τοῦ βλέπειν»

Τοσούτοις δέ, φησίν, οἶδα περισχεθεὶς κακοῖς ὑπὸ τοῦ πλήθους τῶν ἀνομιῶν, ὑφ' ὧν καταληφθεὶς καὶ κυκλωθεὶς ἐν τοῖς παροῦσιν ἐξετάζομαι κακοῖς, ὡς μικροῦ μηδὲ δύνασθαι διορᾶν.

«Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου»

252 Ἀντὶ τοῦ σφόδρα εἰσὶν ἀναρίθμητοι.

---

1. Πρβλ. Ψαλ. 39,12. **2.** Πρβλ. Ψαλ. 39,13.

«Καὶ ἡ καρδία μου ἐγκατέλιπέ με»

Διὰ τοῦτο, φησίν, ὑπὸ τοῦ πλήθους τῶν κακῶν ὥσπερ τις ἀκάρδιος ἤμην, οὐδεμίαν ἔχων σύνεσιν τῶν παρόντων.

14 «Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με»

Θέλησον τοίνυν ἀπαλλάξαι με τῶν κακῶν. Τὸ δέ «εὐδόκησον», ἀντὶ τοῦ σφόδρα θέλησον.

«Κύριε, εἰς τὸ βοηθῆσαί μοι πρόσχες»

Ταχεῖάν σου καὶ ἐσπουδασμένην ποίησον τὴν βοήθειαν[1].

15 «Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν»

Περὶ τῶν Βαβυλωνίων λέγει. Οὗτοι, φησίν, οἱ ἀνελεῖν με ἐσπουδακότες αἰσχυνθεῖεν ἐπὶ τῇ οἰκείᾳ σπουδῇ, ἀπράκτων αὐτοῖς γενομένων τῶν κατ' ἐμοῦ βουλευμάτων διὰ τὴν σὴν βοήθειαν.

«Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ ἐντραπείησαν οἱ θέλοντές μοι κακά»

Οἱ ἐπιθυμοῦντές με διάγειν ἐν συμφοραῖς πολλὴν δέξαιντο τὴν ἐπὶ τούτοις αἰσχύνην, εἰς μάταιον αὐτοῖς τῆς ἐπιθυμίας μετατραπείσης. Τὸ δέ «ἀποστραφείησαν εἰς τὰ ὀπίσω»[2] ἐκ μεταφορᾶς τοῦ τοὺς αἰσχυνομένους σφόδρα ἀποστρέφειν τὸ πρόσωπον ὑπὸ τῆς αἰδοῦς.

16 «Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι Εὖγε εὖγε»

Ταχεῖαν δέξαιντο τὴν αἰσχύνην οἱ ἐπιχαίροντες ταῖς συμφοραῖς· τὸ γάρ «εὖγε εὖγε»[3] ἐπιφώνησίς ἐστι εὐφραινομένων καὶ ἡδομένων ἐπὶ τοῖς γιγνομένοις.

17 «Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε»

Κἀκεῖνοι μέν, φησί, τοιαῦτα πάθοιεν. Οὗτοι δέ «οἱ ζητοῦντές

---

1. Πρβλ. Ψαλ. 39,14. 2. Ψαλ. 39,15. 3. Ψαλ. 39,16.

σε»[1] λάβοιεν τὴν ἐπί σοι εὐφροσύνην, τουτέστι τὴν ἐπὶ τοῖς σοῖς ἀγαθοῖς, οἷς παρέσχες αὐτοῖς· λέγει δὲ τοὺς Ἰουδαίους ζητοῦντας αὐτὸν ὡς κεκτημένους αὐτοῦ τὴν γνῶσιν καὶ ἐλπίζοντας τυχεῖν τῆς παρ' αὐτοῦ βοηθείας.

«Καὶ εἰπάτωσαν διὰ παντὸς Μεγαλυνθήτω ὁ Κύριος»

253 Ὥστε διηνεκῶς θαυμάζοντας λέγειν ὅτι μέγας εἶ ἀληθῶς καὶ τὴν δύναμιν ἐξαίσιος, τῆς εὐεργεσίας τοῦτο λέγειν αὐτοὺς προαγομένης.

«Οἱ ἀγαπῶντες τὸ σωτήριόν σου διὰ παντός»

Οἱ τὴν παρά σου σωτηρίαν ἀεὶ ἀπεκδεχόμενοι, — ἵνα εἴπῃ οἱ εἴς σε ἐλπίζοντες, — ἵνα οὗτοι ταῦτα λέγωσι· λέξουσι δὲ τῆς παρά σου τυχόντες βοηθείας.

18 «Ἐγὼ δὲ πτωχὸς καὶ πένης εἰμί· Κύριος φροντιεῖ μου»

Σύμμαχος· 'λόγισαι περὶ ἐμοῦ'. Ἐπειδὴ γάρ, φησίν, εὐτελής εἰμι καὶ ἀσθενής, αὐτὸς φρόντισον[2] προνοῆσαί μου.

«Βοηθός μου καὶ ὑπερασπιστής μου σὺ εἶ· ὁ Θεός μου, μὴ χρονίσῃς»

Ἀλλὰ καὶ αὐτὸς εἶ, φησίν, ὁ ἀεί μοι βοηθήσας, ὥστε καὶ διὰ τὴν ἀσθένειαν τὴν ἐμὴν καὶ διὰ τὸ αὐτόν σε εἶναι τὸν ἀεί μου προνοοῦντα, μὴ παρατείνῃς τῆς βοηθείας τὴν ὑπέρθεσιν.

Ψαλμὸς 40

[669] Προφητεύει ἐν τῷ παρόντι ψαλμῷ τὰ κατὰ τὸν μακάριον Ἐζεκίαν, ὅπως τε ἠῤῥώστησε καὶ τίνα τὰ παρὰ τῶν φίλων αὐτῷ κατὰ τὴν ἀῤῥωστίαν γεγονότα, καὶ τὴν ἀπαλλαγὴν δὲ τῆς ἀῤῥωστίας ὡς ἀπὸ τοῦ Θεοῦ παρα**254**σχεθεῖσαν αὐτῷ, ὅτι τε δι' ἁμαρτίαν αὐτῷ γένονεν ἡ ἀῤῥωστία, — ὃ καὶ ἑτέρωθι πολλαχοῦ ἐν τοῖς περὶ τῆς ὑποθέσεως ταύτης ψαλμοῖς ἐπισημηνάμενος φαίνεται.

---

1. Ψαλ. 39,17. 2. Πρβλ. Ψαλ. 39,18.

Ἐν ἀρχῇ δὲ τοῦ ψαλμοῦ μακαρίζει τοὺς μεταδιδόντας προθύμως τοῖς πένησιν, ὡς τοῦ Ἐζεκίου διὰ ταύτην τὴν αἰτίαν μάλιστα ἐν τῇ ἀῤῥωστίᾳ τετυχηκότος τῆς παρὰ τοῦ Θεοῦ βοηθείας, παιδεύων καὶ τοὺς λοιποὺς προθύμως διακεῖσθαι περὶ τοῦτο, ὅπερ φαίνοιντο διαπραττόμενοι ἐν καιρῷ κακίστῳ τυγχάνειν τῆς ἀπαλλαγῆς.

2 «Μακάριος ὁ συνίων ἐπὶ πτωχὸν καὶ πένητα»

«Ὁ συνίων», τουτέστιν ὁ ἐννοῶν ἃ προσῆκε περὶ τῶν πενήτων, ὁ τοῦτο ἔχων κατὰ διάνοιαν ὅτι προσῆκε τὰς χρείας αὐτῶν παραμυθεῖσθαι ἐπαρκοῦντας αὐτοῖς κατὰ τὸ δυνατόν. Πῶς δέ «μακάριος» εἴη; Ἐπειδὴ μεγάλων τεύξεται τῶν μισθῶν. Τίνων δὲ τούτων;

«Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος»

Ἐν γὰρ καιρῷ τῶν κινδύνων ἀπαλλάξει αὐτὸν τῶν κακῶν ὁ Θεός, κατάλληλον αὐτῷ τὸν μισθὸν χαριζόμενος· ὡς γὰρ ἐκεῖνος ἐπαρκεῖ δεομένῳ τῷ πένητι, ἐπαρκέσει πάντως καὶ αὐτῷ ὁ Θεὸς δεομένῳ τῆς αὐτοῦ βοηθείας. Ἡμέραν γὰρ πονηρὰν[1] οὐκ ἐκ τῆς φύσεως καλεῖ, ἐπεὶ καὶ ἀλλαχοῦ ἡμέραν οἶδε καλεῖν ἀγαθήν (πῶς δὲ δυνατὸν τὸ αὐτὸ καὶ ἀγαθὸν καὶ πονηρὸν εἶναι τῇ φύσει;) ἀλλ' ἡμέραν πονηρὰν καλεῖ ἐκείνῳ τῷ ἐν κινδύνοις ἐξεταζομένῳ. Οὕτως γὰρ **255** καὶ ἀλλαχοῦ φησιν· «ἵνα τί ὑμῖν ζητεῖν τὴν ἡμέραν Κυρίου; Καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς»[2] — καὶ μὴν ἀνάγκη τὴν ἡμέραν φῶς εἶναι, ἀλλὰ σκότος ἐκείνοις τοῖς ἐν συμφοραῖς ἐξετάζεσθαι μέλλουσι κατ' ἐκείνην τὴν ἡμέραν καὶ ὥσπερ ἐν σκότῳ τινὶ ὑπὸ τοῦ πλήθους τῶν κακῶν καθεστάναι. Σύμμαχος οὕτω λέγει· 'ἐν ἡμέρᾳ κακώσεως Κύριος διαφυλάξαι αὐτὸν καὶ ζῆσαι αὐτόν'.

3 «Κύριος φυλάξαι αὐτὸν καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ»

Διαφόρως ἐξηγεῖται τοῦ Θεοῦ τὰς εἰς αὐτὸν εὐεργεσίας. Καὶ γὰρ ἀπαλλάξει, φησί, τῶν κινδύνων, καὶ διαφυλάξει ὥστε μηδὲν παθεῖν, καὶ ζωὴν αὐτῷ παρέξει, καὶ τῷ πλήθει τῶν εὐεργεσιῶν

1. Πρβλ. Ψαλ. 40,2. 2. Ἀμ. 5,18.

μακαριστὸν ἀποφανεῖ παρὰ πᾶσιν. «Ἐν» γάρ «τῇ γῇ»[1] λέγει, τουτέστι παρὰ πᾶσι τοῖς ἐπὶ τῆς γῆς.

«Καὶ μὴ παραδοῖ αὐτὸν εἰς χεῖρας ἐχθροῦ αὐτοῦ»

Ἀντὶ τοῦ οὐ παραδώσει. Σύμμαχος· ʽκαὶ οὐκ ἐκδώσει αὐτόνʼ, τουτέστιν οὐκ ἐάσει τοῖς ἐχθροῖς ὑποχείριον γενέσθαι.

4 «Κύριος βοηθῆσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ»

Καὶ ἀῤῥωστήσαντι δὲ αὐτῷ παρέξει τὴν βοήθειαν[2]. Βούλεται δὲ εἰπεῖν ὅτι τῷ ἐπαρκοῦντι ταῖς χρείαις τῶν πενήτων, ἐν πάσῃ χρείᾳ τὴν οἰκείαν ἐπαρκέσει βοήθειαν ὁ Θεός. Ταῦτα δὲ πάντα εἶπε κοινὴν ποιησάμενος τὴν παραίνεσιν ἀπὸ τῶν κατὰ τὸν Ἐζεκίαν, ὡς ἐκείνου διὰ τὴν περὶ τοὺς πένητας πρόνοιαν πάντων τούτων τετυχηκότος. Καὶ γὰρ καὶ ἐῤῥύσατο αὐτὸν ἐκ κινδύνου τῶν Ἀσσυρίων κεκυκλωκότων τὴν πόλιν καὶ ἐφύλαξεν οὐδὲν παθεῖν ἐάσας, καὶ ἐν ζωῇ κατέστησεν ἀπαλλάξας τοῦ προσδοκωμένου θανάτου, καὶ μακαρίζεσθαι παρὰ πάντων ἐποίησεν οὕτω παραδόξως ἀπαλλάξας αὐτὸν τῶν κινδύνων, καὶ ἀῤῥωστήσαντι δὲ αὐτῷ μετὰ ταῦτα πάλιν ἐβοήθησε. Διὰ τοῦτο τῇ παραινέσει χρησάμενος, ἑξῆς ἐπὶ τὰ περὶ αὐτοῦ μεθίσταται εἰς ἀπόδειξιν ἕλκων αὐτὰ τῶν λεχθέντων παρʼ αὐτοῦ. Μέμνηται μέντοι τῶν κατὰ τὴν ἀῤῥωστίαν, ἅπαντα ἐάσας τὰ λοιπά, ἐπειδὴ καὶ τοῦτο προσαγορεύειν αὐτῷ πρόκειται ἐν τῷ παρόντι ψαλμῷ.

«Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψεν, μετέβαλε τὴν ἀῤῥωστίαν αὐτοῦ»

256 Ὅτι δέ, φησί, ταῦτα οὕτως ἔχει, δῆλον ἐκ τῶν γεγονότων. Ἀμέλει πᾶσαν αὐτοῦ τὴν ἀῤῥωστίαν μετέβαλε· «κοίτην» γὰρ ἐνταῦθα τὴν ἀῤῥωστίαν ἐκάλεσεν, ὡς ἐπʼ αὐτῆς πάντως τοῦ ἀῤῥώστου κατακειμένου. Τὸ δέ «μετέβαλε τὴν ἀῤῥωστίαν»[3], ἀντὶ τοῦ ἀπὸ ἀῤῥωστίας εἰς ὑγείαν αὐτὸν μετέστησεν. Καλῶς δὲ τὸ ἔστρεψεν ὥστε δεῖξαι τὸ αἰφνίδιον καὶ ὀξὺ τῆς ἰάσεως, καὶ τό «ὅλην» ἵνα εἴπῃ μηδὲ βραχὺ λείψανον τῆς ἀῤῥωστίας κατέλιπεν αὐτῷ· διʼ ἀμφοτέρων γὰρ ἡ τοῦ Θεοῦ ἐδείκνυτο δύναμις καὶ τῇ

---

1. Ψαλ. 40,3. **2.** Πρβλ. Ψαλ. 40,4. **3.** Ψαλ. 40,4.

ὀξύτητι καὶ τῷ πᾶσαν ἀποβληθῆναι συντόμως τὴν κάκωσιν, τῶν ἰατρῶν χρόνῳ τε καὶ τάξει τὰς ἰάσεις ἐπαγόντων καὶ ταῖς κατὰ μέρος θεραπείαις. Λοιπὸν διηγεῖται καὶ τῆς ἰάσεως τὸν τρόπον καί φησιν·

5 «Ἐγὼ εἶπα Κύριε, ἐλέησόν με»

Γεγονὼς γάρ, φησίν, ἐν τῇ ἀῤῥωστίᾳ ἐβόησε πρὸς τὸν Θεὸν καὶ ᾔτησε παρ᾽ αὐτοῦ τὸν ἔλεον. Ταῦτα γὰρ λοιπὸν ὡς ἂν τοῦ Ἐζεκίου εἰρηκότος φησί, διηγούμενος πάντα ὡς ἐκ τῆς ἀκολουθίας τὰ κατὰ τὴν ἀῤῥωστίαν ἐπὶ μηνύσει μὲν τῶν ἐσομένων, διδασκαλίαν δὲ τῶν ἀκουόντων.

«Ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι»

Καὶ θεράπευσόν μου τὴν ψυχήν· οἶδα γὰρ ἡμαρτηκὼς εἴς σε καὶ διὰ τοῦτο ταῦτα ὑπομένω. Καὶ καθὼς εἶπε «τὴν ψυχήν μου»[1]· ἁμαρτίας γὰρ πραχθείσης, εὔδηλον ὅτι ψυχὴ δεῖται τῆς ἰατρείας.

6 «Οἱ ἐχθροί μου εἶπαν κακά μοι»

Ἰδοὺ γάρ, φησίν, εἰς οἷα ὑπὸ τῆς ἀῤῥωστίας κατέστην, ὡς τοὺς ἐχθροὺς ἐφήδεσθαί τε καὶ ῥήματα φθέγγεσθαι πάσης γέμοντα κακίας. Ποῖα δὲ ταῦτα;

«Πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;»

257 Πότε ἄρα ἀποθάνοι καὶ ἀφανισθείη[2] αὐτοῦ τὸ μνημόσυνον;

7 «Καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει»

Καὶ τὸ μεῖζον, φησί, κακόν, ὅτι εἰσιὼν μὲν ἕκαστος αὐτῶν ὥστε ἐπισκέψασθαι ἐφθέγγετο ῥήματα συμπαθείας μεστά. Καλῶς δὲ εἶπε «μάτην»[3], ὅτι οὐκ ἀπὸ συγκαταθέσεως ἐφθέγγετο καρδίας, ἀλλὰ ἁπλῶς ἀπάτης ἕνεκεν. Σύμμαχος· ʽεἰσπορευόμενος τοῦ ἐπισκοπῆσαι, μάτην ἐλάλειʼ.

«Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ»

Ἐν δὲ τῇ καρδίᾳ εἶχε τὴν ἐπιθυμίαν τοῦ θανάτου τοῦ ἐμοῦ. «Ἀνομίαν» οὖν ἐκάλεσε τὴν ἐπιθυμίαν τὴν τοιαύτην, ὡς ἀνοσίαν

---

1. Ψαλ. 40,5. 2. Πρβλ. Ψαλ. 40,6. 3. Ψαλ. 40,7.

καὶ παράλογον, καὶ οὐκ ἀπὸ δικαίας αἰτίας γενομένην τῷ μηδὲν ἠδικῆσθαι παρ' αὐτοῦ.

7-8 «Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ»

Μετὰ γὰρ τὸ ἐξελθεῖν ἐφθέγγοντο ἄτοπα περὶ ἐμοῦ. Σύμμαχος· 'ἐξερχόμενος κατελάλει'.

8 «Ἐψιθύριζον πάντες οἱ ἐχθροί μου κατ' ἐμοῦ»

Καὶ οὐ μόνον, φησίν, ἰδίᾳ ἕκαστος ταῦτα διεπράττετο, ἀλλὰ καὶ συνερχόμενοι πάντες οἱ ἐχθραίνοντες κατὰ ταὐτὸν πλεῖστα ὅσα ἐφθέγγοντο «κατ' ἐμοῦ»[1]. Καλῶς δὲ εἶπε τό «ἐψιθύριζον»· ἀνάγκη γὰρ ἦν ὡς βασιλέα δεδιότας μὴ εἰς τὸ προφανὲς φθέγγεσθαι.

«Ἐλογίζοντο κακά μοι»

Κατ' ἐμοῦ ἐλογίσαντο, ἐνενόουν ἄτοπα, καὶ ἐβουλεύοντο κατ' ἐμοῦ.

9 «Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ»

Καὶ ῥήματα ἄτοπα καὶ παράνομα κατ' ἐμοῦ ἐβεβαιοῦντο· καταθέσθαι γὰρ κυρίως λέγεται ὅταν τις ἐπὶ ὑπομνημάτων καταθῆται φωνήν, ἥτις λοιπὸν μένει βεβαία, καὶ ὅλως ἡ φωνὴ ἐπὶ τῶν μετά τινος βεβαιώσεως γιγνομένων λέγεται. Τοῦτο οὖν λέγει ὅτι οὐχ ἁπλῶς ἐφθέγγοντο, ἀλλὰ μετὰ βεβαιώσεως πολλῆς καὶ συγκαταθέσεως τῆς πρὸς τὰ λεγόμενα.

«Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆσαι;»

258 Ἆρα τοίνυν, φησί, διαναστήσομαι καὶ ἀπαλλαγήσομαι τῆς ἀρρωστίας, ἵν' ὥσπερ ἀπὸ ὕπνου τῆς κακώσεως διαναστὰς ποιήσω τούτους πεῖραν λαβεῖν τῆς ματαιότητος τῶν κατ' ἐμοῦ ῥημάτων;

Καὶ καλῶς εἶπε «Μὴ ὁ κοιμώμενος»[2]· τοῦ γὰρ Θεοῦ βοηθήσαντος, ὥσπερ ἀπὸ ὕπνου διανίστατο τῆς ἀρρωστίας μετὰ πολλῆς τῆς εὐχαριστίας.

---

1. Ψαλ. 40,8. 2. Ψαλ. 40,9.

10 «Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν»

Τὸ γάρ μοι, φησί, χεῖρον ἁπάντων, καὶ ὃ μάλιστά μοι πολλὴν παρέχει τὴν ἀθυμίαν, ὅτι καὶ οἱ φιλίαν προσποιούμενοι, οἷς καὶ ἐπήλπιζον ὡς φίλοις πάντα ἀνατιθέμενος, οἳ καὶ συνήσθιόν μοι ἑκάστοτε ὤφθησαν μάλιστα ἀπατῶντές με, καὶ χλευάζοντες, καὶ σχηματιζόμενοι μὲν τὴν φιλίαν, ἕτερα δὲ κατὰ διάνοιαν ἔχοντες «ἐμεγάλυναν οὖν πτερνισμόν»[1], ἐπειδὴ μείζων ἦν ἡ ἀπάτη ὅσῳ καὶ μεῖζον τὴν φιλίαν ἐσχηματίζοντο.

11 «Σὺ δέ, Κύριε, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς»

Ἐπειδὴ τοίνυν τοιαῦτα μὲν τὰ παρὰ τῶν ἐχθρῶν, χείρονα δὲ καὶ παρὰ τῶν φίλων, σύ, φησίν, ἐλεήσας «ἀνάστησον»[2] καὶ ἀπάλλαξον τῆς κακώσεως· λήψομαι γὰρ δίκας παρὰ τούτων.

12 «Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ»

Ταύτην, φησί, λήψομαι ἀπόδειξιν μεγίστην τοῦ πεφροντικέναι σε ἐμοῦ, τὸ μὴ συγχωρῆσαί με τοιαῦτα παθεῖν ἀφ' ὧν ἐπιχαρῆναί μοι τοὺς ἐχθροὺς[3] συμβήσεται.

13 «Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου»

259 Ἐβοήθησας δέ μοι, φησί, δικαίως· ᾔδεις γὰρ ὅτι καὶ τοῖς φίλοις ἐμαυτὸν ἐπίστευσα, λογισμὸν περὶ αὐτῶν κακίας οὐδένα ποτὲ παραδεξάμενος, οὔτε μὴν ὑποπτεύσας τι περὶ αὐτῶν ἄτοπον, καὶ τοῖς ἐχθροῖς οὐκ ἐσπούδασά τι διαθεῖναι κακόν.

Τοῦτο γὰρ λέγει «ἀκακίαν» τὸ μηδένα μηδὲν εἰργάσθαι κακόν, καὶ τὸ ἄνευ πάσης κακίας συνδιατεθεῖσθαι τοῖς φίλοις.

Ταῦτα δὲ ὁ μακάριος Δαβὶδ ὡς ἐκ τοῦ Ἐζεκίου, — καί ποτε μὲν λέγων «Σὺ δέ, Κύριε, ἐλέησόν με»[4], ποτὲ δέ «Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου»[5]—, παιδεύει πάντας ἀνθρώπους ὅτι καὶ προ-

---

1. Ψαλ. 40,10. **2.** Ψαλ. 40,11. **3.** Πρβλ. Ψαλ. 40,12. **4.** Ψαλ. 40,11. **5.** Ψαλ. 40,13.

ὑπάρχειν δεῖ τὰ παρ᾽ ἡμῶν, ὥστε ἐν κινδύνοις δύνασθαι τυγχάνειν τῆς τοῦ Θεοῦ βοηθείας, καὶ γενομένους ἐν ταῖς συμφοραῖς οὐχ ὑπτιοῦσθαι δεῖ πεποιθότας ἐφ᾽ ἑαυτοῖς, ἀλλ᾽ εἰδότας ὡς χρεία τῆς τοῦ Θεοῦ φιλανθρωπίας σύντονον ποιεῖσθαι τὴν προσευχήν.

«Καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς αἰῶνα»

Ἐπειδὴ μετὰ τὴν κατὰ τῶν Ἀσσυρίων νίκην ἐπαρθεὶς τῷ φρονήματι καὶ καταλιπὼν τὸ ὡς προσῆκον ἦν εὐχαριστῆσαι τῷ Θεῷ τῇ ἀῤῥωστίᾳ περιέπεσε, τοῦτο λέγει ὅτι λοιπὸν βεβαιώσεις με ἐν τοῖς προσήκουσιν, ὥστε μὴ ἡμαρτηκότα πάλιν ἀῤῥωστίᾳ περιπεσεῖν, ὡς καὶ ἐν τῷ λα´ λέγει ὡς ἐκ τοῦ Θεοῦ· «Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ, ᾗ πορεύσῃ, ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου»[1].

14 «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. Γένοιτο γένοιτο»

Ἐπειδὴ γάρ, φησί, τοιαῦται καὶ τοσαῦται αἱ παρά σου εὐεργεσίαι, ἄξιος εἶ, ὁ τοῦ Ἰσραὴλ Θεός, διηνεκῶς ὑμνεῖσθαι οὐ παρ᾽ ἐμοῦ **260** μόνου, ἀλλὰ γὰρ καὶ παρὰ πάντων καὶ ἀληθῶς ἄξιος. Τὸ γάρ «γένοιτο γένοιτο»[2], Ἀκύλας ‘πεπιστωμένως’ λέγει, τουτέστιν ἀληθῶς εὐλογητός. Τὸ γὰρ ὄντως, ἀληθῶς καὶ πίστεως ἄξιον τῷ διπλασιασμῷ χρησάμενος παρεδήλωσε. «Θεὸν δὲ Ἰσραήλ» εἶπεν, ἀντὶ τοῦ Σὺ πάντοτε τοῦ Ἰσραὴλ προνοησάμενος, ὃν καὶ ἐπικέκληται ὁ Ἰσραήλ, ἀληθῶς ἄξιος ὕμνων ὅτι καὶ πάντων προνοεῖς καὶ τοῦ καθ᾽ ἕκαστον φροντίζειν οὐκ ἀπαξιοῖς.

Ψαλμὸς 41

Τὰ κατὰ τὸν λαὸν τὸν ἐν Βαβυλῶνι προφητεύων ἐνταῦθα ὁ μακάριος Δαβίδ, ἀναλαβὼν δὲ τοῦ λαοῦ τὸ πρόσωπον ὡς ἐν αἰχμαλωσίᾳ καθεστῶτος, ταῦτα φθέγγεται ἅπερ ἐκείνοις εἰπεῖν ἥρμοττε κατ᾽ ἐκεῖνον τὸν καιρόν. Εἰ δὲ τὰ λεγόμενα μείζονος ἔχει πόθου τὴν ἀπόδειξιν ἢ κατὰ τὸν λαόν, οὐ θαυμαστόν. Ὁ γὰρ μακάριος Δαβὶδ τῇ πνευματικῇ χάριτι λαβὼν τῶν ἐσομένων τὴν ἀποκάλυ-

1. Ψαλ. 31,8. 2. Ψαλ. 40,14.

ψιν εἰς ἔννοιάν τε αὐτῷ γιγνομένων, κεχωρισμένων τῆς ἀποκληρωθείσης αὐτοῖς παρὰ τοῦ Θεοῦ γῆς καὶ τοῦ τόπου ἐν ᾧπέρ τε ὁ ναὸς ᾠκοδόμητο καὶ αἱ θυσίαι ἐπετελοῦντο, καὶ οἰκειούμενος τῇ διαθέσει τὸ πάθος, ἐκ προσώπου τοῦ ἐκείνων ταῦτα φθέγγεται ἅπερ ἂν αὐτὸς ἐφθέγξατο, χωρισθεὶς τῶν προειρημένων, ἐκείνους παιδεύων τοσαύτην λαβεῖν τοῦ πάθους τὴν ἐπίτασιν. Τὴν γάρ τοι γνῶσιν τῶν ἐσομένων ἐκ τοῦ Πνεύματος λαβών, τὴν τῶν λεγομένων διάθεσιν ἐκ τῆς οἰκείας περὶ τὸν Θεὸν σχέσεως, τῷ ἐκείνων περιῆπτε προσώπῳ, ἐπεὶ καὶ ἄχρι τῆς δεῦρο ὑπὲρ τῶν ἁμαρτανόντων μεῖζον ἄλγος ἐστὶν ἰδεῖν ἔχοντας τοὺς δικαίους, καὶ ταῦτα πολλάκις ἐκείνων ἀναλγήτως ἐπὶ τοῖς πταίσμασι διακειμένων. Ἄλλως δὲ καὶ ὁ μακάριος Δαβὶδ οὐχ ἅπερ ἐκεῖνοι λέγειν ἤμελλον φθέγγε**261**ται, ἀλλ' ἅπερ εἰπεῖν ἐκείνοις ἥρμοττεν, ἐντεῦθεν ἤδη παιδεύων ἐκείνους οὕτω διακεῖσθαι τότε ὅταν ἡ τῶν πραγμάτων ἔκβασις πληρωθῇ. Τὰ μὲν οὖν πάθη τοῖς παθοῦσι λογιστέον, τὴν δὲ πρόγνωσιν τῇ τοῦ Πνεύματος ἀκολουθίᾳ, τὴν δὲ τῶν λεγομένων εὐλάβειαν τῇ ἀρετῇ τοῦ φθεγγομένου.

2 «Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων»

Πολὺν δεῖξαι βουλόμενος τὸν πόθον, ἐχρήσατο τῷ τῶν ἐλάφων ὑποδείγματι — οὐχ εὑρηκὼς παρὰ ἀνθρώποις ἱκανὸν ὑπόδειγμα πρὸς τὴν τοῦ πόθου παράστασιν, ἀληθῶς τῇ οἰκείᾳ περὶ τὸν Θεὸν διαθέσει, ἐκ τοῦ ἐκείνων προσώπου ταῦτα φθεγγόμενος. Ἔστι γὰρ ταῖς ἐλάφοις ἡ ἐπιθυμία τοῦ πότου τῶν ὑδάτων[1] πολλή τις, ἀεὶ μὲν διὰ τὴν τῆς φύσεως ξηρότητα, μάλιστα ἐπειδὰν μεταλάβῃ τῶν ἑρπετῶν τῆς κατὰ φύσιν ξηρότητος αὐτοῖς ἀπὸ τοῦ ἐδέσματος ἐπιτεινομένης.

«Οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός»

Οἷον ἔχει τοίνυν ἐκεῖνα περὶ τὰ ὕδατα πόθον ἀπὸ τῆς φύσεως πρὸς τοῦτο συνελαυνόμενα, τοιαύτην ἐκ προαιρέσεως ἐγὼ κέκτημαι πρός σε τὴν διάθεσιν.

---

1. Πρβλ. Ψαλ. 41,2.

3 «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα»

Καλῶς τό «ἐδίψησεν ἡ ψυχή μου»[1] εἶπεν, ἀντὶ τοῦ ἐπόθησα, καὶ σύμφωνον τῷ ὑποδείγματι καὶ ὡς ἐνεργέστερον πρὸς παράστασιν τοῦ πόθου.

«Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;»

Τοῦτο, φησίν, ἐπιθυμῶ, πότε δυνηθῶ ἐλθὼν παραστῆναί σοι καὶ ὀφθῆναί σου τῷ προσώπῳ. Σωματικώτερον δὲ αὐτὸ κατὰ τὴν ἰουδαϊκὴν ὑπόληψιν εἶπεν, ὡς ἐν τῷ ναῷ μόνον ὄντος τοῦ Θεοῦ καὶ οἰομένων οὐκ ἂν αὐτῷ ἑτέρωθι παραστῆναι εἰ μὴ ἐν ἐκείνῳ γένοιντο τῷ τόπῳ.

4 «Ἐγενήθη μοι τὰ δάκρυά μου ἄρτος ἡμέρας καὶ νυκτός»

Ἦν δέ μοι, φησίν, ἀκόρεστα διόλου καὶ τὰ δάκρυα. «Ἄρτον» δὲ ἐκάλεσε τὰ δάκρυα διὰ τὸ ἀκόρεστον εἰκότος, ἐπειδὴ οἱ ἄνθρωποι ἀεὶ κατὰ τὸν τοῦ ἐσθίειν καιρὸν τοῦ ἄρτου μεταλαμβάνοντες οὐδέποτε τοῦ πράγματος κόρον ἔχουσι διὰ τὸ τῆς τροφῆς χρειῶδες καὶ ἀναγκαῖον, τῆς φύσεως αὐτοὺς οὕτω διακεῖσθαι παρασκευαζούσης.

«Ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ Θεός σου;»

262 Παρεσκεύασε γάρ με οὕτως διακεῖσθαι τὰ παρὰ τῶν ἐχθρῶν ῥήματα ὀνειδιζόντων τὴν παρά σου βοήθειαν καὶ λεγόντων «ποῦ ὁ Θεός» ἐφ' ᾧ καυχᾶσθε, καὶ ποῦ ἐφ' ᾧ πεποίθατε[2];

5 «Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου»

Ταῦτα ἃ ἑξῆς μέλλει λέγειν. Ἀκούων γάρ, φησί, παρὰ τῶν ἐχθρῶν τοιαῦτα καὶ ὑπομιμνησκόμενος τῶν παλαιῶν, διεχεόμην ἅπας καὶ διελυόμην τὴν ψυχὴν ὑπὸ τοῦ μεγέθους τῆς ἀθυμίας[3]. Οὕτω λέγει Σύμμαχος, 'ἀναπολῶν, διέχεα ἐπ' ἐμαυτόν'. Ποῖα δὲ ὢν ὑπομιμνησκόμενος ἠθύμεις;

---

1. Ψαλ. 41,3. **2.** Πρβλ. Ψαλ. 41,4. **3.** Πρβλ. Ψαλ. 41,5.

«Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως ἤχου ἑορτάζοντος»

Σκηνὴν θαυμαστὴν καλεῖ τὸν τοῦ Θεοῦ ναόν, τόπον δὲ σκηνῆς τὰ Ἱεροσόλυμα ἤτοι τὸ ὄρος ἐν ᾧπερ ὁ ναὸς ᾠκοδόμητο. Ἠθύμουν οὖν, φησίν, ὑπομιμνησκόμενος τῶν παλαιῶν, διεχεόμην ὑπομιμνησκόμενος ὅπως πρὸ τούτου παραγινόμενοι ἐν τοῖς Ἱεροσολύμοις εἰσίημεν ἕως καὶ αὐτοῦ τοῦ οἴκου σου, μετὰ μεγάλης φωνῆς εὐφραινόμενοι καὶ μετὰ εὐχαριστίας ἣν ἀνεπέμπομεν μετὰ πολλοῦ τοῦ ἤχου ἐν ταῖς ἑορταῖς· καὶ γὰρ ἐν ταῖς ἑορταῖς ὁ νόμος προσέταττε συνεῖναι ὁμοθυμαδὸν ἅπαντας. Τοῦ δέ «ἤχου» εἶπεν, ἵνα δείξῃ τὸ πλῆθος τῶν ἐν ταῖς ἑορταῖς συνιόντων, ἀφ' ὧν ἀπετελεῖτο δηλονότι μέγας ἦχος τῆς φωνῆς· τὸ γάρ «ἤχου ἑορτάζοντος», Σύμμαχος λέγει 'πλῆθος πανηγυριζόντων'. Βούλεται οὖν εἰπεῖν ὅτι δακρύων διετέλουν ἀκούων μὲν τῶν καθ' ἑκάστην ἡμέραν λεγομένων ὑπὸ τῶν ἐχθρῶν διὰ τὰς κατεχούσας ἡμᾶς συμφοράς· ὑπομιμνησκόμενος δὲ ἐν οἵᾳ ἦμεν δόξῃ τὸ παλαιόν, — ὅτε συνιόντες ἐν Ἱεροσολύμοις ἅπαντες κατὰ ταὐτὸν ἐν ταῖς ἑορταῖς εἰσίημεν εἰς τὸν οἶκον τὸν σόν, μετὰ εὐφροσύνης καὶ μεγέθους φωνῆς καὶ μετὰ ἤχου πολλοῦ ἀναπέμποντές σοι τὰς εὐχαριστίας ὑπὲρ τῶν εἰς ἡμᾶς ἀγαθῶν, καὶ οὕτω τὴν ἑορτὴν μετὰ πολλῆς ἐπιτελοῦντες τῆς φαιδρότητος —, ἀποβλέπων οὖν πρὸς τὴν ἀποβολὴν ἠθύμουν εἰκότως. Βούλεται δὲ **263** δεῖξαι πολλὰς τὰς αἰτίας δι' ἃς ἐπανελθεῖν ἀξιοῖ· ὅτι τε ποθεῖ σφόδρα παραστῆναι Θεῷ ἐν τοῖς Ἱεροσολύμοις γεγονώς, καὶ ὅτι ἐν πολλοῖς ἐξητάσθη κακοῖς, καὶ ὅτι ὀνειδιζόμενος ὑπὸ τῶν ἐχθρῶν διετέλει, καὶ ὅτι πόθον ἔχουσι τῆς ἐπανόδου ἵνα ἐν τοῖς οἰκείοις διάγοντες ἑορτάζωσι τῷ Θεῷ.

6 «Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή, καὶ ἵνα τί συνταράσσεις με;»

Εἶτα, φησί, μετὰ τὴν ἐπὶ τούτοις ἀθυμίαν ἔλεγον κατ' ἐμαυτὸν τίνος ἕνεκεν οὕτως ἀθυμεῖς, καὶ τίνος ἕνεκεν οὕτω συνταράττῃ;

«Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ»

«Ἐξομολογήσομαι», τουτέστιν εὐχαριστήσω. Καταλιπὼν οὖν, φησί, τὴν ἀθυμίαν, μᾶλλον ἔλπισον ἐπὶ τὸν Θεὸν ὅτι πάντως

αὐτῷ εὐχαριστήσω, ἀντὶ τοῦ ὅτι τεύξομαι τῶν ἀγαθῶν· τυχὼν γάρ τινος, τότε πάντως ἤμελλεν ὑπὲρ τῶν δοθέντων εὐχαριστεῖν. Ἐπειδὴ εἶπεν ἄνω ὅτι εἰσῄειν εἰς τὸν ναόν «ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως»[1], ἐπήγαγεν «ὅτι ἐξομολογήσομαι αὐτῷ»[2], ἀντὶ τοῦ ἔλπισον ὅτι πάλιν σοι τοῦτο προσγενήσεται;

«Σωτήριον τοῦ προσώπου μου ὁ Θεός μου»

Ἐλπίσεις γὰρ δικαίως, ἐπειδὴ αὐτός ἐστιν ὁ Δεσπότης μου καὶ ὁ τὴν σωτηρίαν μοι παρεχόμενος.

7 «Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη»

Καὶ ὅμως, φησίν, οὐδὲν ὠφέλουν ἐμαυτὸν παρακαλεῖν ἐσπουδακῶς τοῖς ῥήμασι τούτοις· πάλιν γὰρ πρὸς ἐμαυτὸν ἐταραττόμην, τουτέστιν αὐτὴ πάλιν ἐφ' ἑαυτῆς ἡ ψυχή μου τοῖς οἰκείοις λογισμοῖς ἐταράττετο. Πῶς καὶ τίνα τρόπον;

«Μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιίμ, ἀπὸ ὄρους μικροῦ»

Ὑπεμιμνησκόμην γὰρ πάλιν τοῦ «Ἰορδάνου», καὶ τῆς «γῆς» καὶ τοῦ «ὄρους» τοῦ Ἀερμών, —«Ἑρμωνιίμ» γὰρ καλεῖ τὸ Ἀερμών. Προσυπακούεται οὖν τὸ διὰ **264** τοῦτο ὅτι ὑπεμιμνήσκετο τοῦ Ἰορδάνου καὶ τῆς γῆς, — ἵνα εἴπῃ τῆς γῆς τῆς ἐπαγγελίας. Ἠθύμουν γὰρ ἐννοῶν ὅτι κεχώρισμαι τῶν οἰκείων ἀπὸ τοῦ ὄρους καὶ ἀπὸ τοῦ ποταμοῦ τοῦ ἐν τοῖς τόποις, βουλόμενος εἰπεῖν τὴν πᾶσαν γῆν. Ἔδειξε δὲ τοῦ πόθου τὴν ἐπίτασιν εἰπών «ὄρους μικροῦ»[3], ἐπειδὴ τὰ μικρὰ μάλιστα ποθεινὰ ἡμῖν καθέστηκεν, — ὡς ἄν τις εἴποι ἐκείνου τοῦ μικροῦ ὡραίου.

8 «Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου»

Ἐταραττόμην οὖν ὑπομιμνησκόμενός τε ἐκείνων καὶ ἀποβλέπων εἰς τὰ περιέχοντα κακά· «ἄβυσσον» δὲ καλεῖ τὸ ἄπειρον πλῆθος τῶν στρατιωτῶν. Τοῦτο οὖν λέγει, ὅτι πλήθη στρατιωτῶν ἀλλήλοις συμμαχοῦντα συναθροίζονται κατ' ἐμοῦ διὰ τὸ μέγεθος

---

1. Ψαλ. 41,5. **2.** Ψαλ. 41,6. **3.** Ψαλ. 41,7.

τῆς ὀργῆς τῆς σῆς. Τὸ γάρ «ἐπικαλεῖται» εἶπεν, ἀντὶ τοῦ στρατιὰ μεγίστη ἑτέραν ὁμοίαν ἐπικαλεσαμένη εἰς συμμαχίαν οὕτως ὥρμησε κατ' ἐμοῦ· τοῦτο δὲ ὑφίσταμαι διὰ τό σέ μοι ὀργίζεσθαι. Καλῶς δὲ τοῦ Θεοῦ τὴν ὀργὴν ἐνταῦθα καταῤῥάκτας ἐκάλεσεν, ἐπειδὴ «ἄβυσσον» εἶπε τῶν στρατιωτῶν τὸ πλῆθος· οἱ γὰρ τοῦ οὐρανοῦ καταῤῥάκται ἀφεθέντες δηλονότι ἀβύσσους καὶ κατακλυσμὸν ἐργάζονται, ὥσπερ καὶ ἐπὶ τοῦ Νῶε[1].

«Πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον»

Ἠκολούθησε τῇ οἰκείᾳ σωματοποιήσει συνήθως. Ἐπειδὴ γὰρ ἀβύσσους ὠνόμασε μεταφορικῶς, ὡς ἐπὶ θαλάσσης εἶπεν, «οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου»[2], ἵνα εἴπῃ ὅτι τοῦτο ὅλον τὸ πλῆθος καὶ ἡ τοῦ πλήθους ἐπανάστασις κατ' ἐμοῦ συνήχθη. Τοῦ Θεοῦ δὲ εἶπε «τοὺς μετεωρισμοὺς καὶ τὰ κύματα», ὡς τῇ αὐτοῦ ὀργῇ τῆς ἐπαναστάσεως τοῦ πλήθους γεγενημένης.

9 «Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ, καὶ νυκτὸς δηλώσει παρ' ἐμοί»

Ἀλλ' ἐνενόουν πάλιν ὅτι καὶ τοσούτων ὄντων τῶν περιεχόντων **265** κακῶν, εὐχερές σοι σφόδρα τὴν λύσιν παρασχεῖν. Ἐὰν γὰρ ἐν ἡμέρᾳ προστάξῃς τὴν φιλανθρωπίαν τὴν εἰς ἡμᾶς, τουτέστι τῶν κακῶν τὴν λύσιν γενέσθαι, οὕτως συντόμως γίνεται ὡς εὐθὺς ἀγαθῶν ἀπολαύσαντας διὰ τῆς ἐπερχομένης νυκτὸς ᾄδοντάς σοι ὕμνους ὑπὲρ τῶν γεγενημένων ἀναπέμποντας διατελεῖν. Τοῦ Θεοῦ οὖν τὸ ἔλεος ἐντειλαμένου ἐν ἡμέρᾳ, εὐθὺς ἐν τῇ νυκτὶ ᾠδὴ αὐτοῦ ἐστι παρ' ἐμοί, — ἵνα εἴπῃ ὅτι οὕτω συντόμως ἔσται τοῦ προστάγματος αὐτοῦ ἡ ἐκπλήρωσις, ὥστε ἐν ἡμέρᾳ προστάξαντος ἐξεῖναί μοι ᾄδειν ἐν νυκτὶ ὑπὲρ τῶν γεγενημένων ἀγαθῶν παρ' ἐμοί.

«Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου»

Τοῦτο, φησί, πεπεισμένως ἀεὶ ἔσχον παρ' ἐμαυτῷ τὴν προσευ-

---

1. Πρβλ. Γεν. 6,11-7,24. **2.** Ψαλ. 4,8.

χήν σου, τουτέστιν οὐδὲ ἐν ταῖς συμφοραῖς ἀπέβαλον τὸ προσεύχεσθαί σοι[1] προθυμίᾳ ἀσαλεύτῳ.

10 «Ἐρῶ τῷ Θεῷ Ἀντιλήπτωρ μου εἶ· διὰ τί μου ἐπελάθου;»

Διετέλουν δὲ ἑκάστοτε προσευχόμενος καὶ λέγων ὅτι βοηθός μου εἶ, καὶ μὴ ποιήσῃς μου λήθην[2].

10-11 «Ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου; Ἐν τῷ καταθλᾶσαι τὰ ὀστᾶ μου ὠνείδισάν με οἱ θλίβοντές με»

Μηδὲ καταλίπῃς με ἐν σκυθρωπότητι διάγοντα καὶ θλιβόμενον ὑπὸ τοῦ ἐχθροῦ καὶ καταθλώμενον ὑπ' αὐτοῦ τὰ ὀστᾶ, ἵνα εἴπῃ καταδαπανηθέντα τὴν ἰσχὺν ὑπὸ τοῦ ἐχθροῦ ταῖς συμφοραῖς μὴ περιΐδῃς.

11 «Ἐν τῷ λέγειν αὐτούς μοι καθ' ἑκάστην ἡμέραν Ποῦ ἐστιν ὁ Θεός σου;»

Ἀλλὰ καὶ ἑκάστοτέ μοι, φησίν, ὀνειδίζοντες οἱ ἐχθροὶ διατελοῦσιν ἐπὶ τῇ σῇ προστασίᾳ, λέγοντες, «Ποῦ ἐστιν ὁ Θεός;»[3] Τό «ἐν τῷ αὐτοὺς λέγειν μοι» Σύμμαχος 'λέγοντές μοι', τουτέστιν ὠνείδιζόν με τοῦτό μοι λέγοντες. Ὥστε, φησί, καὶ ἐπειδὴ αὐτός μοι γέγονας προστάτης ἀεί, καὶ διὰ τὸ πλῆθος τῶν κακῶν καὶ διὰ τὰς θλίψεις τὰς παρὰ τῶν ἐχθρῶν καὶ ὀνείδων τῶν ἐπί σοι, ταχέως τῶν περιεχόντων ἀπαλλάξας κακῶν, μὴ περιΐδῃς ἐν τοσαύταις καθεστῶτα συμφοραῖς. Ταῦτα δὲ ὅλα πρὸς τό «παρ' ἐμοὶ ἡ προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου»[4] ἀπέδωκεν, ἵνα εἴπῃ τά σοι ἀρεστὰ ἀεὶ προσευχόμενος καὶ ἐν ταῖς συμφοραῖς διετέλουν.

12 «Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή, καὶ ἵνα τί συνταράσσεις με; Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ»

266 Αἰτῶν δὲ ταῦτα παρά σου παρεκάλουν ἐμαυτὸν ὥστε μὴ λυπεῖσθαι ἐπὶ τοῖς περιέχουσι κακοῖς, ἐλπίζειν δὲ μᾶλλον πιστεύοντα ὅτι πάντως εἰσακουσθήσομαι καὶ ἀπαλλαγήσομαι τῶν κακῶν, τεύξομαι δὲ τῶν ἀγαθῶν ὥστε καὶ εὐχαριστῆσαί σοι ἐπὶ τοῖς παρά σου χορηγουμένοις ἀγαθοῖς.

---

1. Πρβλ. Ψαλ. 41,9. **2.** Πρβλ. Ψαλ. 41,10. **3.** Ψαλ. 41,11. **4.** Ψαλ. 41,9.

«Σωτήριον τοῦ προσώπου μου ὁ Θεός μου»

Ἐπίστευον δὲ ὅτι πάντως παρέξεις, ἐπειδὴ αὐτὸς εἶ ἡ σωτηρία μου καὶ ὁ Δεσπότης μου. Τὸ δέ «τοῦ προσώπου μου»[1], ἵνα εἴπῃ τῆς ὑπολήψεώς μου, τῆς δόξης μου, ἀντὶ τοῦ αὐτὸς εἶ ὁ ταῦτά μοι παρέχων.

Ψαλμὸς 42

Τὰ κατὰ τὸν λαὸν τὸν ἐν Βαβυλῶνι κατεχόμενον καὶ ἐνταῦθα προφητεύει αἰτοῦντα τῶν κακῶν τὴν ἀπαλλαγήν.

1 «Κρῖνόν μοι, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου ἐξ ἔθνους οὐχ ὁσίου»

Θεασάμενος, φησίν, ὅσα ἠδίκημαι ὑπὸ τῶν κατεχόντων τούτων τῶν ἀνοσίων καὶ βεβήλων, ἐξέτασιν ποίησαι τῶν κατ' ἐμὲ καὶ τὰ πρέποντα ἐφ' οἷς ἠδίκημαι παρ' αὐτῶν διάπραξαι. Εἰ γὰρ καὶ δι' ἁμαρτίας παθεῖν αὐτοὺς συνεχώρησεν ὁ Θεός, ἀλλ' οὖν γε οὐκ ἀνεύθυνοι οἱ Βαβυλώνιοι ἐφ' οἷς αὐτοὺς διέθηκαν· οὐ γὰρ ἐκεῖνος πρᾶξαι ἠνάγκασεν ἅπερ εἰς τὸν λαὸν διεπράξαντο κακά, ἀλλὰ τούτοις συνεχώρησεν οὐ βοηθήσας αὐτοῖς διὰ τὰς ἁμαρτίας. Ἔδειξε δὲ τῷ εἰπεῖν ἀνοσίους, ὅτι ἄξιοι τιμωρίας καὶ διὰ τὸν τρόπον καὶ διὰ τὴν εἰς αὐτοὺς ἀδικίαν.

«Ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με»

Ἀνθρώπου, τουτέστιν ἀνθρώπων τούτων τῶν δολίων καὶ ἀδίκων[2], ἀπάλλαξόν με.

2 «Ὅτι σὺ εἶ, ὁ Θεός, κραταίωμά μου»

267 Αἰτῶ δὲ ταῦτα, φησί, παρά σου εὐλόγως, ἐπειδὴ σὺ εἶ ὁ Δεσπότης μου, ὁ ποιητής μου, ἡ ἰσχυροποίησίς μου[3], — ἀντὶ τοῦ τῇ σῇ βοηθείᾳ κρατύνομαι ἀεὶ καὶ ἰσχυρὸς δείκνυμαι.

«Ἵνα τί ἀπώσω με;»

Ὁπότε τοίνυν αὐτὸς εἶ ὁ τὰ πάντα μοι παρέχων, μὴ καταλίπῃς οὐκ ἔχοντα παρ' ἑτέρου βοήθειαν.

---

1. Ψαλ. 41,12. **2.** Πρβλ. Ψαλ. 42,1. **3.** Πρβλ. Ψαλ. 42,2.

«Καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου;»

Μηδὲ ἐάσῃς με ἐν σκυθρωπότητι διατελεῖν ὑπὸ τῶν ἐχθρῶν ἐκθλιβόμενον καὶ τοιαῦτα πάσχοντα. Τὸ γάρ «ἵνα τί» οὐχ ὡς αἰτιώμενος λέγει, ἀλλ' ἰδίωμά ἐστι τοῦτο τῆς Γραφῆς καὶ μάλιστα τοῦ μακαρίου Δαβίδ· ἐπειδὴ γὰρ ἐν τοῖς μεγάλοις αἰτιώμεθα κακοῖς, κέχρηται τῇ αἰτιατικῇ φωνῇ πρὸς παράστασιν τοῦ μεγέθους τῆς συμφορᾶς.

3 «Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου»

Ἐπειδὴ σκότος καλεῖ τὰς συμφοράς, φῶς καλεῖ τοῦ Θεοῦ τὴν ἀντίληψιν ὡς τῶν συμφορῶν ἀπαλλάττουσαν, — παράσχου σου τοίνυν τὴν ἀντίληψιν. Τὸ δέ «καὶ τὴν ἀλήθειάν σου»[1] συνήθως, τουτέστι τὴν βεβαίαν καὶ ἀληθῶς εὐεργετεῖν δυναμένην.

«Αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου»

Ὡδήγησε καὶ ἤγαγεν ἀντὶ τοῦ ὁδηγήσει καὶ ἄξει (ἐπεὶ πῶς λέγει «ἐξαπόστειλον», εἰ ὡδήγησε;) δῆλον οὖν ὅτι ἐναλλαγὴ χρόνου ἀπὸ τῆς ἑρμηνείας γεγένηται. Βούλεται οὖν εἰπεῖν ὅτι τοῦτό μοι παράσχου τὴν βεβαίαν σου ἀντίληψιν· τοῦτο γὰρ δύναταί με καὶ τῶν κακῶν ἀπαλλάξαι τῶν περικειμένων καὶ ἀγαγεῖν εἰς τὰ Ἱεροσόλυμα. «Ὄρος» γάρ «ἅγιον» καλεῖ τὸ Σιών, ἐφ' ᾧ ᾠκοδόμητο ἥ τε πόλις καὶ ὁ ναός, — καί «σκηνώματα» Θεοῦ τὴν πόλιν καὶ αὐτὸν τὸν ναὸν βούλεται εἰπεῖν, τὰ Ἱεροσόλυμα.

4 «Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ»

268 Τότε, φησί, τούτων τυχὼν καὶ ὑπ' αὐτῶν ὁδηγηθεὶς εἰς τὸν τόπον σου τὸν ἅγιον δυνήσομαι εἰσελθεῖν, ἔνθα κεῖται τὸ σὸν θυσιαστήριον.

«Πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου»

Τότε εἰσελεύσομαι, φησί, πρός σε, τὸν ἐξ ἀρχαίου πολλήν μοι τὴν εὐφροσύνην παρεσχηκότα. «Νεότητα» γὰρ τοῦ λαοῦ καλεῖ

1. Ψαλ. 42,3.

τοὺς προτέρους αὐτῶν· οὕτω καὶ ἐν τῷ Ἰεζεκιὴλ ὀνειδίζει αὐτοῖς τὴν ἐν νεότητι ἁμαρτίαν, περὶ τῶν ἐν Αἰγύπτῳ[1] ἁμαρτησάντων λέγων.

«Ἐξομολογήσομαί σοι, Κύριε ὁ Θεός μου, ἐν κιθάρᾳ»

Ἐπανελθὼν δέ, φησίν, ἀναπέμψω σοι τὰς εὐχαριστίας μετὰ κιθάρας[2].

5 «Ἵνα τί περίλυπος εἶ, ψυχή, καὶ ἵνα τί συνταράσσεις με;»

Παῦσαι τοίνυν, ὦ ψυχή, φησί, τῆς λύπης καὶ ἀπαλλάγηθι πάσης ταραχῆς[3].

«Ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ»

Καὶ μᾶλλον ἔλπιζε τῷ Θεῷ, ὅτι παρέξει σοι τὴν βοήθειαν.

«Σωτήριον τοῦ προσώπου μου, ὁ Θεός μου»

Ὅτι αὐτός ἐστιν ὁ Σωτήρ μου καὶ ὁ Δεσπότης μου.

Ψαλμὸς 43

Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον πάλιν ἐν τοῖς οἰκείοις οἱ Ἰσραηλῖται γεγονότες καὶ τῶν ἐκ τῆς γῆς ἀπολαύσαντες ἀγαθῶν ἐξώκειλαν ἐπὶ τὸ χεῖρον, ἀποστάντες μὲν τῆς τῶν προσηκόντων ἐπιμελείας καὶ τῶν τῆς ἀρετῆς κατορθωμάτων, πᾶσαν δὲ μετιόντες ἀδεῶς ἀτοπίαν. Κρατεῖ τοίνυν **269** αὐτῶν ἐντεῦθεν Ἀντίοχος ὁ Ἐπιφανὴς προσαγορευόμενος, καὶ διαφόροις αὐτοὺς περιβαλὼν κακοῖς τέλος θύειν ἠνάγκαζε τοῖς αὐτῷ νενομισμένοις θεοῖς· βωμὸν δὲ ἐν τῷ ναῷ καθιδρύσας ἐπ' ὀνόματι τῶν οἰκείων δαιμόνων, καὶ ἑτέρους τε πλείστους καθ' ἑκάστην τε πόλιν καὶ τόπον ἀναστήσας ἐν τῇ χώρᾳ τῶν Ἰσραηλιτῶν παραβαίνειν ἅπαντας τὸν πάτριον παρεσκεύαζε νόμον. Καὶ δήποτε καὶ ἐφειστήκει μὲν ὁ ὑπὸ Ἀντιόχου ἀπεσταλμένος, θύειν ἕκαστον ἀναγκάζων κατὰ τὸ πρόσταγμα τὸ βασιλικόν. Καὶ προσῆλθε δέ τις Ἰσραηλίτης ὡς θύσων καὶ τῷ νόμῳ πειθαρχῶν τοῦ βασιλέως. Ἐνταῦθα ζηλώσας

1. Πρβλ. Ἰεζ. 23,3. 2. Πρβλ. Ψαλ. 42,4. 3. Πρβλ. Ψαλ. 42,5.

Ματταθίας τις οὕτω προσαγορευόμενος τῷ νόμῳ, τόν τε πειθαρχῆσαι τῷ προστάγματι σπεύσαντα τοῦ βασιλέως Ἰσραηλίτην καὶ θῦσαι βουληθέντα ἀνεῖλε καὶ τὸν ἐξανύειν τὸ πρόσταγμα τὸ βασιλικὸν ἐσπουδακότα. Καὶ ἀγωνισάμενος λαμπρῶς ὑπέρ τε τοῦ οἰκείου ἔθνους καὶ τῶν πατρῴων νόμων, οὕτω τελευτήσας παρέδωκε τὴν ἀρχὴν τοῖς ἰδίοις υἱοῖς, Ἰούδᾳ τῷ ἐπιλεγομένῳ Μακκαβαίῳ καὶ τῆς ἐξουσίας τὸ πλέον δεδωκώς, καὶ τὸ κατάρχειν τῶν τε πολέμων καὶ τῶν κινδύνων ἐγχειρίσας αὐτῷ ὡς ἀνδρείῳ καὶ περὶ ταῦτα ἐπιτηδείως ἔχειν δυναμένῳ. Οἳ καὶ πολεμεῖν ὑπὲρ τοῦ ἔθνους ἑλόμενοι καὶ ὑπὲρ τῶν νόμων τῶν τοῦ Θεοῦ, ἐν πολλοῖς καὶ διαφόροις ἐξητάσθησαν κακοῖς, καὶ μεγίστους διανύσαντες πολέμους πρός τε τοὺς Ἀντιόχου στρατηγοὺς καὶ τοὺς ἑξῆς διαδεξαμένους τὴν βασιλείαν, μόλις ποτὲ χρόνοις πολλοῖς τῇ τοῦ Θεοῦ βοηθείᾳ τροπώσασθαι παντελῶς τοὺς ἐχθροὺς ἠδυνήθησαν, ἐξάρχοντος καὶ στρατηγοῦντος αὐτῶν ἐν τοῖς πολέμοις κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς Ἰούδα τοῦ καὶ Μακκαβαίου. Ὅθεν δὴ καὶ Μακκαβαῖοι ἀπὸ τοῦ ἄρξαντος τῶν ὑπὲρ τοῦ ἔθνους πόνων ἐπεκλήθησαν οἱ ἐκ τοῦ γένους, κατὰ διαδοχὴν παρειληφότες καὶ τὴν ἀρχὴν τοῦ ἔθνους καὶ τοὺς ὑπὲρ αὐτῆς πολέμους, ἐπειδὴ καὶ ἔθος ἦν παρὰ Ἰουδαίοις ἀπὸ τῶν παρ' αὐτῆς ἐπισήμων τὰς πατρίδας καλεῖσθαι καὶ τὸ ἐξ αὐτῶν ἔθνος, ὡς καὶ ἀπὸ τοῦ Δαβὶδ οἱ ἀπ' ἐκείνου οἶκος Δαβὶδ χρηματίζων. Ἐνταῦθα τοίνυν τὰ ἐπ' ἐκείνων συμβάντα ὁ μακάριος Δαβὶδ προφητεύει τὸ τῶν Μακκαβαίων πρόσωπον ἀνειληφὼς ἐξαγορευόντων τὸ ἐπενεχθὲν παντὶ τῷ ἔθνει πλῆθος τῶν κακῶν ὑπὸ Ἀντιόχου, καὶ ἐκ τοῦ ἐκείνων προσώπου τὰ τῶν Ψαλμῶν φθεγγόμενος.

2 «Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν»

Ἴσμεν πολλάκις ἀκηκοότες, ὦ Δέσποτα, τῶν πατέρων ἡμῖν ἐξηγησαμένων[1] καὶ οὐχ ἑτέρου τινὸς ἀλλοτρίου ὥστε καὶ ἀπιστῆσαι τοῖς λεχθεῖσι. Τί δὲ ἠκούσαμεν ἐξηγουμένων;

1. Πρβλ. Ψαλ. 43,2.

«Ἔργον, ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις»

270 Τὰ θαυμάσια τὰ ἐπιτελεσθέντα ὑπό σου τὸ παλαιόν. Βούλεται δὲ εἰπεῖν τὰ ἐν Αἰγύπτῳ, καὶ τὰ κατὰ τὴν ἔρημον καὶ ἐν τῇ γῇ τῆς ἐπαγγελίας, ἀρχαίας ἡμέρας ἐκείνας καλῶν· πολλὰ γὰρ ἦν ὡς πρὸς τοὺς Μακκαβαίους ἀρχαῖα τὰ κατ' Αἴγυπτον γεγονότα. Ποῖον ἔργον ἤκουσαν;

3 «Ἡ χείρ σου ἔθνη ἐξωλόθρευσεν, καὶ κατεφύτευσας αὐτούς»

Ὅτι ἡ σή, φησί, δύναμις ἠφάνισεν ἔθνη, τούτους δὲ ἐγκατέστησεν. Τὸ γάρ «ἡ χείρ σου»[1], ἵνα εἴπῃ σὺ καὶ ἡ σὴ δύναμις, οὐκ ἐκεῖνοι τοῦτο ποιῆσαι ἴσχυσαν παρ' ἑαυτῶν. Τὸ δέ «κατεφύτευσας» οὐχ ἁπλῶς εἰσήγαγεν, ἀλλ' ἑδραίως κατῴκησας. «Ἔθνη» δέ «ἐξωλόθρευσας» περὶ τῶν Χαναναίων λέγει καὶ τῶν Ἀμοῤῥαίων καὶ τῶν λοιπῶν· τούτους γὰρ ἐξολοθρεύσας τὴν ὑπ' αὐτῶν κατεχομένην γῆν παρέδωκας τοῖς Ἰσραηλίταις.

«Ἐκάκωσας λαοὺς καὶ ἐξέβαλες αὐτούς»

Καὶ πλήθη δὲ ἀναρίθμητα πλείστοις κακοῖς περιέβαλες, ὥστε τούτους ἐκβαλεῖν καὶ ἀπαλλάξαι τῆς ὑπ' ἐκείνους δουλείας. Τοῦτο δὲ λέγει περὶ τῶν Αἰγυπτίων· ἐκείνους γὰρ ἐκάκωσεν, ὥστε τούτους ἐκβαλεῖν. Τὸ γάρ «ἐξέβαλες αὐτούς» περὶ τῶν Ἰσραηλιτῶν λέγει, ἀντὶ τοῦ ὥστε ἐκβαλεῖν αὐτούς «ἐκάκωσας» ἐκείνους.

4 «Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς»

Ἐπειδὴ εἶπεν ὅτι ἔθνη ἀφανίσας ἐκείνους κατῴκισας καὶ λαοὺς ἀπώλεσας δισσῶς, ἐπάγει πρὸς ἀμφότερα· «Οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς»[2]. Οὐδὲ γὰρ τῇ οἰκείᾳ μαχαίρᾳ ἔσχον τῆς γῆς τὴν κληρονομίαν, — ἵνα εἴπῃ ὅτι οὐ πολέμου νόμῳ νικήσαντες ἔλαβον τῆς γῆς τὴν κτῆσιν —, ἀλλ' οὐδὲ τῇ οἰκείᾳ ἰσχύϊ ἔσχον τὴν ἀπὸ τῶν Αἰγυπτίων σωτηρίαν· βραχίονα γὰρ καλεῖ τὴν ἰσχύν. Βούλεται δὲ

---

1. Ψαλ. 43,3. **2.** Ψαλ. 43,4.

εἰπεῖν ὅτι οὐδενὸς ἀπήλαυσαν δι' οἰκείαν ἰσχύν· οὕτω γὰρ καὶ 'Ιησοῦς ὁ τοῦ Ναυὶ μετὰ τὴν τῆς γῆς κατάσχεσιν λέγει πρὸς αὐτούς· «καὶ ἐξέβαλεν αὐτὸς ἀπὸ προσώπου ἡμῶν, ιβ' βασιλεῖς τῶν 'Αμοῤῥαίων, οὐκ ἐν τῇ ῥομφαίᾳ σου οὐδὲ ἐν τῷ τόξῳ σου»[1].

«'Αλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου»

271 'Αλλὰ παρεσχέθη αὐτοῖς ταῦτα ὑπὸ τῆς σῆς βοηθείας, ὑπὸ τῆς σῆς ἰσχύος καὶ ὑπὸ τῆς σῆς ἀντιλήψεως, τῆς ἐπιφανείας σου· «δεξιάν» γὰρ καλεῖ τὴν βοήθειαν, «βραχίονα» δὲ τὴν ἰσχύν, καί «πρόσωπον» τὴν ἐπιφάνειαν· «φωτισμὸν οὖν προσώπου» τὴν ἀντίληψιν τὴν ἀπὸ τῆς τοῦ Θεοῦ ἐπιφανείας αὐτοῖς παρασχεθεῖσαν.

«῞Οτι εὐδόκησας ἐν αὐτοῖς»

Καὶ ταῦτα αὐτοῖς παρεσχέθη ἐπειδὴ ἀρεστόν σοι τὸ εὐεργετῆσαι αὐτοῖς κατεφάνη.

5 «Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου καὶ ὁ Θεός μου ὁ ἐντελλόμενος τὰς σωτηρίας 'Ιακώβ»

Καὶ σῴζεσθαι[2] τὸ ἔθνος τὸ ἡμέτερον προστάττων, ἀντὶ τοῦ ὁ βουλόμενος ἡμᾶς μὴ διαφθαρῆναι καὶ ἀπολέσθαι, ἀλλὰ διαμένειν, — καλῶς τοῦτο τοῖς προτέροις ἐπαγαγών. Δῆλον γάρ, φησίν, ἐξ ὧν τοὺς πατέρας δουλεύοντας οὐκ ἀφῆκας, ἀλλ' ἐῤῥύσω τῶν κακῶν, ἔδωκάς τε αὐτοῖς καὶ κατάσχεσιν γῆς, ὅτι διαμένειν καὶ σῴζεσθαι θέλεις τὸ ἡμέτερον ἔθνος.

6 «'Εν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν»

Δικαίως οὖν, φησί, καὶ νῦν τῆς σῆς τευξόμεθα βοηθείας, ὥστε ἀμύνασθαι τοὺς ἐχθροὺς τοὺς ἡμετέρους, ἐπείπερ αὐτὸς εἶ καὶ νῦν Θεὸς φροντίζων τῆς ἡμετέρας σωτηρίας. Τὸ δέ «κερατιοῦμεν», ἀντὶ τοῦ κερατίσομεν, τουτέστι τοῦτο ποίησον, τοῦτο παράσχου· οὕτω γὰρ ἁρμόττει τυχεῖν ἡμᾶς τούτων τῆς σῆς βοηθείας. 'Εκ μεταφορᾶς δὲ εἶπε τῶν ἀλόγων τῶν τοῖς κέρασιν ἀμυνομένων.

---

1. 'Ιησ. Ν. 24,12. **2.** Πρβλ. Ψαλ. 43,5.

«Καὶ ἐν τῷ ὀνόματί σου ἐξουθενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν»

Καὶ τῇ σῇ ἐπικλήσει δικαίως καταναλώσομεν καὶ εἰς τὸ μηδὲν τοὺς ἡμετέρους ἐχθρούς[1].

7 «Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με»

Οὐδὲ γὰρ ἐγὼ προσδοκῶ τῇ οἰκείᾳ ἰσχύϊ καὶ πολέμου νόμῳ περιγενόμενος αὐτῶν κρατῆσαι καὶ τυχεῖν τῆς σωτηρίας· τόξον γὰρ καὶ ῥομφαίαν[2] τοῦτο λέγει, ἀντὶ τοῦ ὅτι οὐ προσδοκῶμεν πείρᾳ πολεμικῇ κρατῆσαι τῶν ἐχθρῶν.

8 «Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας»

272 Καὶ ἀεὶ τοὺς ἐχθροὺς τοὺς ἡμετέρους αἰσχύνῃ[3] περιβάλλεις· οὐ γὰρ συνεχώρησας αὐτοῖς εἰς ἔργον ἐκβαλεῖν τὰ κατ' ἐμοῦ σπουδαζόμενα.

9 «Ἐν τῷ Θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν»

Ὅθεν, φησί, καὶ πεποίθαμεν διηνεκῶς ἔχειν τὸ ἔν σοι καυχᾶσθαι, τουτέστιν ἐν τῇ σῇ βοηθείᾳ· τὸ γάρ «ἐπαινεσθησόμεθα»[4], καί 'καυχησόμεθα', λέγει Ἀκύλας. «Ὅλην τὴν ἡμέραν», ἀντὶ τοῦ δοκῶμεν καὶ νῦν παρασχεθήσεσθαι ἡμῖν παρά σου τὴν βοήθειαν.

«Καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα»

Καὶ τῇ σῇ ἐπικλήσει προσδοκῶμεν ἀεὶ τὰς εὐχαριστίας ἀναπέμψειν, ἵνα εἴπῃ τεύξεσθαι τῶν ἀγαθῶν· τότε γάρ τις εὐχαριστεῖ.

10 «Νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς»

Τοιαῦτα δέ, φησί, πάλαι γεγενῆσθαι ἀκούσαντες καὶ νῦν προσδοκῶντες, εἰκότως ἐναντία ὁρῶμεν τὰ πράγματα· νυνὶ γὰρ ἐν αἰσχύνῃ κατέστησας.

---

1. Πρβλ. Ψαλ. 43,6. **2.** Πρβλ. Ψαλ. 43,7. **3.** Πρβλ. Ψαλ. 43,8. **4.** Ψαλ. 43,9.

«Καὶ οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν»

Οὐ γὰρ στρατηγήσεις ἡμῖν εἰς τοὺς πολέμους, τουτέστιν οὐκ ἐπαμυνεῖς ἡμῖν ἐν τοῖς πολέμοις. Τὸ γάρ «οὐκ ἐξελεύσῃ» ἀνθρωπινώτερον εἶπεν ἀπὸ τῶν εἰς συμμαχίαν ἐξιόντων. Τὸ δέ «ἐν ταῖς δυνάμεσιν ἡμῶν»[1], ἀντὶ τοῦ σὺν ταῖς δυνάμεσιν, ἵνα εἴπῃ ἡμῖν, — δυνάμεις λέγων τὴν στρατιάν, ὡς καὶ ἄχρι τῆς δεῦρο δύναμιν βασιλέως καλεῖν εἰώθαμεν τὸν στρατόν.

11 «Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν»

Ὑποχειρίους δὲ ἡμᾶς τοῖς ἐχθροῖς κατέστησας καὶ πάσης ἐπλήρωσας αἰσχύνης, ἡττηθῆναι παρασκευάσας.

«Καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς»

273 Οἱ γὰρ ἀπεχθῶς διακείμενοι περὶ ἡμᾶς διέσπων ἡμᾶς τῇδε κἀκεῖσε, ὡς ἠβούλοντο γὰρ ἑαυτοῖς[2], ἀντὶ τοῦ κατὰ τὴν οἰκείαν γνώμην καὶ κατὰ τὴν οἰκείαν βούλησιν, οὐδενὸς ὄντος ἀνθισταμένου.

12 «Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως»

Παρεδόθημεν, φησίν, ὑπό σου εἰς τὸ ἀναιρεῖσθαι ὑπὸ τῶν ἐχθρῶν ὡσεί «πρόβατα»[3] ἄλογα τὰ εἰς βρῶσιν προκείμενα τοῖς ἀνθρώποις, καὶ ἕτοιμα σφάττεσθαι ὑπὸ τῶν βουλομένων.

«Καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς»

Καὶ τοσοῦτον περιέβαλες κακοῖς, ὥστε φεύγοντας διασπαρῆναι τῇδε κἀκεῖσε.

13 «Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς»

Συνεχώρησας ἡμᾶς ταῦτα πάσχειν, πάντως ὡς οὐδενὸς λόγου ἀξίους προδεδωκὼς τῷ θανάτῳ καὶ τοῖς παθήμασιν, ἐκ μεταφορᾶς τῶν τοὺς ἀχρήστους οἰκέτας ἄνευ τιμῆς προϊεμένων. Καὶ ἐπειδὴ εἶπεν «ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς»[4], τῇ ἀκολουθίᾳ τῆς μεταφορᾶς χρησάμενος ἐπήγαγεν·

---

1. Ψαλ. 43,10. **2.** Πρβλ. Ψαλ. 43,11. **3.** Ψαλ. 43,12. **4.** Ψαλ. 43,13.

«Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν αὐτῶν»

Τουτέστιν ὡς οὐδενὸς ἄξιοι οὕτως παρεδιδόμεθα τοῖς ἐχθροῖς, καὶ οὕτως ἡμᾶς ἀνῄρουν ἀφειδῶς ὡς ἂν οὐδενὸς χρήματος ἀνταλλάξασθαι ἀξίους.

14 «Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν»

Ἐπὶ τούτοις παρασκευάσας ἡμᾶς ὀνειδίζεσθαι ὑπὸ τῶν ἐχθρῶν τῶν πλησιοχώρων[1].

«Μυκτηρισμὸν καὶ καταγέλωτα τοῖς κύκλῳ ἡμῶν»

Καὶ ὑπὸ τῶν περιοικούντων χλευάζεσθαι πεποίηκας.

15 «Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσιν»

274 Τοιαῦτα δέ, φησί, γέγονε τὰ καθ' ἡμᾶς καὶ οὕτω πᾶσιν ἐξάκουστα, ὥστε ἀεὶ ἐν παραβολαῖς ἡμῶν μνημονεύειν τοὺς ἀνθρώπους λέγοντας ὅτι τοιαῦτα ἔπαθον οἵδε οἷα οὐδὲ οἱ Ἰσραηλῖται· ἀεὶ γὰρ τοὺς ἐν συμφοραῖς ἀνηκέστοις περιπίπτοντας ἐν παραβολαῖς[2] εἰώθασιν ἔχειν οἱ ἄνθρωποι, λέγοντες οἷα ὅδε ἢ ὅδε ὑπέστη κακά.

«Κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς»

Ἐπειδὴ τοὺς ἐν συμφοραῖς καθεστῶτας εἰώθαμεν ὁρῶντες συναλγεῖν πολλάκις καὶ τὴν κεφαλὴν συνεχῶς ἐπινεύειν, τοῦτο λέγει ὅτι οἴκτου τοῖς ὁρῶσιν ἄξιοι κατεφαινόμεθα διὰ τὴν τῶν κακῶν ὑπερβολήν.

16 «Ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστιν»

Ἀεί, φησί, πρὸ τῶν ὀφθαλμῶν ἔσχον τὴν ἐντροπήν, τουτέστιν ὑπὸ τοῦ πλήθους τῶν κακῶν ἀεὶ ἐνετρεπόμην τοὺς ἐντυχάνοντας.

«Καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με»

Καὶ αἰσχύνης, φησίν, ἐπληρώθην ἐπὶ τοῖς συμβεβηκόσι κακοῖς, ἐντροπῆς, φησί, καὶ αἰσχύνης ἐπληρούμην[3]. Πῶς;

---

1. Πρβλ. Ψαλ. 43,14. **2.** Πρβλ. Ψαλ. 43,15. **3.** Πρβλ. Ψαλ. 43,16.

17 «Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος»

Ἀπὸ τῶν ὀνειδιζόντων μοι ἐπὶ τοῖς κακοῖς καὶ λοιδορουμένων· καταλαλεῖν[1] γάρ, φησί, τὸ λοιδορεῖσθαι.

«Ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος»

Ἀπὸ τούτων, φησίν, ἐνετρεπόμην τῶν ὀνειδιζόντων, τῶν λοιδορουμένων, τῶν ἐχθραινόντων, τῶν ἐπιβουλευόντων.

18 «Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου»

Τοσούτων δὲ κακῶν ἐληλυθότων ἐφ' ἡμᾶς λήθην σου οὐδαμῶς ἐποιησάμεθα. Πρέπει δὲ ταῦτα λέγειν τοῖς Μακκαβαίοις ἐν αὐτοῖς τοῖς κακοῖς τῷ νόμῳ ζήσασιν.

«Καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου»

275 Ἀκύλας 'καὶ οὐκ ἐψευσάμεθα ἐν διαθήκῃ σου', — ἵνα εἴπῃ ὅτι τῶν νομίμων σου, ὧν διέθου πρὸς ἡμᾶς, οὐδὲν ἠδικήσαμεν[2], οὐδὲν παρελύσαμεν, οὐδὲν παρετρέψαμεν.

19 «Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν»

Καὶ τοῖς λογισμοῖς οὐκ ἀπεστράφημεν ἐπὶ τὸ χεῖρον, οὐδὲ παρετρέψαμέν τι τῆς τοῦ νόμου τηρήσεως.

«Καὶ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου»

Καίτοι, φησί, τοσούτων ἡμῖν συμβεβηκότων κακῶν, ἅπερ ἱκανὰ καθειστήκει παρατρέψαι ἡμῶν τοὺς λογισμοὺς ἀπὸ τῆς σῆς εὐχαριστήσεως. Τὸ δέ «ἐξέκλινας»[3], ἵνα εἴπῃ ὅτι παθεῖν συνεχώρησας τοιαῦτα, ἀφ' ὧν καὶ τοῦτο παθεῖν συνεχώρησας.

20 «Ὅτι ἐταπείνωσας ἡμᾶς ἐν τόπῳ κακώσεως»

«Ἐξέκλινας» δὲ τὸ συγχωρηθῆναι ἡμᾶς ταπεινωθῆναι ὑπὸ τοῦ πλήθους τῶν κακῶν. Τὸ δέ «ἐν τόπῳ κακώσεως»[4], ἵνα εἴπῃ ἐν κακώσει.

«Καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου»

Καὶ κατέλαβον ἡμᾶς, φησί, κίνδυνοι ἐγγίζοντα προδεικνύντες

---

1. Πρβλ. Ψαλ. 43,17. **2.** Πρβλ. Ψαλ. 43,18. **3.** Ψαλ. 43,19. **4.** Ψαλ. 43,20.

τὸν θάνατον, ἀπὸ τοῦ τὴν σκιὰν τοῦ σώματος προδεικνύναι παρουσίαν ἀφ' οὗ πάντως ἀποτελεῖται.

21 «Εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν»

Ἐπειδὴ εἶπεν ἀνωτέρω ὅτι «οὐκ ἐπελαθόμεθά σου», καίτοι μεγάλων ὄντων τῶν συμβεβηκότων ἡμῖν κακῶν, ἐνταῦθά, φησίν, ὅτι «Εἰ ἐπιλαθόμεθά σου»[1], ὦ Δέσποτα.

«Καὶ εἰ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς θεὸν ἀλλότριον»

Καὶ εἰ ἑτέρῳ, φησί, Θεῷ λατρεῦσαι προεθέμεθα.

22 «Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα;»

276 Οὐκ αὐτός, φησί, ταῦτα ἐκζητεῖς[2];

«Αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας»

Σὺ γάρ, φησί, καὶ τοὺς ἐν τῷ βάθει λογισμοὺς ἐπίστασαι, ἵνα εἴπῃ ὅτι σοὶ μάρτυρι κέχρημαι τοῦ μὴ παραβεβηκέναι.

23 «Ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν»

Αὐτὸς οἶδας, φησίν, ὅτι δι' οὐδὲν ἕτερον ἀλλ' ἢ διὰ τὸ σὸν ὄνομα διηνεκῶς τοῖς θανάτοις[3] περιβαλλόμεθα.

«Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς»

Καὶ διά σε ὑπὸ τῶν ἐχθρῶν ὡς πρόβατα ἀναιρούμεθα. Ταύτῃ δὲ ἐχρήσατο τῇ μαρτυρίᾳ ὁ Ἀπόστολος, οὐχ ὡς περὶ αὐτῶν εἰρημένῃ ὑπὸ τοῦ Δαβίδ, ἀλλ' ὡς ἁρμοττούσῃ καὶ ἐπ' αὐτῶν οὐκ ἔλαττον λέγεσθαι, ὅσῳ καὶ πλείοσιν ὑπὲρ τοῦ Χριστοῦ περιέπιπτον τοῖς κακοῖς.

24 «Ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, Κύριε;»

Ἀνθρωπινώτερον λέγει· κινήθητι εἰς βοήθειαν ἡμετέραν, μέχρι πότε μακροθυμεῖς; Τὸ δέ «ἵνα τί ὑπνοῖς, Κύριε»[4], Σύμμαχος, 'ἵνα τί ὡς ὁ ὑπνῶν εἶ Δέσποτα'.

«Ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος»

Κινήθητι πρὸς βοήθειαν ἡμετέραν, καὶ μὴ παντελῶς ἡμᾶς ἀποῤῥίψῃς.

---

1. Ψαλ. 43,21. **2.** Ψαλ. 43,22. **3.** Πρβλ. Ψαλ. 43,23. **4.** Ψαλ. 43,24.

25«Ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις;»

Παῦσαι τῆς καθ' ἡμῶν ὀργῆς, ἀπὸ τῶν ὀργιζομένων καὶ τὰ πρόσωπα[1] ἀποστρεφόντων.

«Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν»

Παῦσαι καὶ τοῦ καταῤῥᾳθυμεῖν ἡμῶν ἐν συμφοραῖς καὶ θλίψεσιν ἐξεταζομένων.

26 «Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν»

Καὶ γὰρ μέχρι τῆς γῆς αὐτῆς κατηνέχθημεν.

«Ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν»

Καὶ ὑπὸ τῶν ἐχθρῶν κατεπατήθημεν πρηνεῖς, ὡς αὐτὴν ἡμῶν τὴν γαστέρα[2] τῷ ἐδάφει προσπαγῆναι.

27 «Ἀνάστα, Κύριε, βοήθησον ἡμῖν»

277 Διεγέρθητι τοίνυν πρὸς βοήθειαν ἡμετέραν.

«Καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου»

Καὶ ἀπάλλαξον ἡμᾶς τῶν κακῶν τούτων διὰ τὸ ὄνομά σου[3] τὸ ἐπικεκλημένον ἐφ' ἡμᾶς, — ὅπερ καὶ νῦν ὑβρίζεται τοιαῦτα πασχόντων ἡμῶν —, καὶ τότε δοξασθήσεται ἐπειδὰν ἀπαλλαγέντες τῶν συμφορῶν ἐν ἀνέσει διὰ τῆς σῆς καταστῶμεν βοηθείας.

---

1. Πρβλ. Ψαλ. 43,25. **2.** Πρβλ. Ψαλ. 43,26. **3.** Πρβλ. Ψαλ. 43,27.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

Σελ.

ΠΙΝΑΞ
ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Ἀρχιμ. Χρυσοστόμου Σαββάτου,
Ἐπικούρου Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος. β) Ὅταν πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος εὑρίσκηται τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Σημείωσις

Εἰς τὴν ἁγιογραφικὴν ἐνημέρωσιν ἔργων τινῶν τοῦ Θεοδώρου Μοψουεστίας ἠργάσθη καὶ ὁ κ. Ἰωάννης Βιδάλης, θεολόγος.

Σημειωτέον ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J. - P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.